50. Ἡρακλέος. Βλέπε σχετικῶς ἐν Α 525 καὶ ταυταρίθμ. ὑποσημ.

56. Χαρζιανή. Πρόκειται περὶ τοῦ θέματος τῆς Χαρσιανῆς ἢ Χαρσιανοῦ, περὶ οὗ βλέπε ἐν ὑποσημ. Α 1346 ἑξ.

63. Βλέπε σχετικῶς ἐν Α 290, Α 495, Α 1368 καὶ ταυταρίθμ. ὑποσημειώσεις, ὡς καὶ ὑποσημ. Α 17 καὶ Α 23. Βλέπε ὡσαύτως ἐν Κα 270 καὶ Κδ 55.

καὶ οἱ τῆς κόρης ἀδελφοὶ ἔτυχον εἰς τὰς ἄκρας.
[§ 42] Ἡ μήτηρ δέ, τὰς τῶν ἐθνῶν ἀποφυγοῦσα χεῖρας,
ἅπαντα γράφει παρευθὺς τοῖς υἱοῖς τὰ συμβάντα,
τὴν τῶν ἐθνῶν τὴν ἔλευσιν, τὴν ἁρπαγὴν τῆς κόρης,
τῆς φιλτάτης τὸν χωρισμόν, τῶν συμφορῶν τὸ πλῆθος.
Προσέθηκε δὲ τῇ γραφῇ καὶ τάδε μετὰ θρήνων·
«Ὦ τέκνα ποθεινότατα, οἰκτείρατε μητέρα
»ψυχὴν ἀθλίαν ἔχουσαν καὶ μέλλουσαν τεθνᾶναι,
»ἀγάπης μνημονεύσατε ἀδελφῆς τῆς ἰδίας,
»ἐλευθερῶσαι σπεύσατε ἀδελφὴν καὶ μητέρα,
»τὴν μὲν δουλείας τῆς πικρᾶς, κἀμὲ δὲ τοῦ θανάτου.
»Δώσομεν πᾶσαν ὕπαρξιν ἕνεκεν τῆς φιλτάτης·
»ζωὴν μὴ προτιμήσητε διὰ τὴν ἀδελφήν σας, 2β
»ἀδελφὴν ἐλεήσατε, τέκνα μου, τὴν ἰδίαν·
»ἀπέλθετε μετὰ σπουδῆς εἰς ἀνάρρυσιν ταύτης,
»εἰ δ' οὖν, θανοῦσαν ὄψεσθε μητέρα ὑπὲρ τέκνου,
»καὶ τὴν κατάραν τὴν ἐμὴν λήψεσθε καὶ πατρῴαν
»εἰ τοῦτο οὐ ποιήσητε, καθὼς ὑμῖν ὑπέσχον».
[§ 43] Οἱ δὲ ταῦτα ἀκούσαντες, στενάξαντες ἐκ βάθους,
καὶ δακρύων κατάβροχοι οἱ πέντε γεγονότες,
ἀλλήλους προεπέμποντο τοῦ ἀπελθεῖν σπουδαίως,
«ἂς ἀπέλθωμεν, λέγοντες, σφαγῶμεν ὑπὲρ ταύτης».
[✱] Εὐθὺς ἵππων ἐπέβησαν καὶ ᾤχοντο τοῦ δρόμου,
συνεπομένους ἔχοντες ὀλίγους στρατιώτας,
καὶ μηδὲν ἀμελήσαντες, ὕπνου μὴ κορεσθέντες,
διὰ βραχέων ἡμερῶν ἔφθασαν τὰ φουσσᾶτα,
εἰς τὴν κλεισοῦραν τὴν δεινήν, ἣν Δύσκολον καλοῦσι,
καὶ μακρόθεν πεζεύσαντες, ἔνθα τὰς βίγλας εὗρον,
δι' ὑπομνήσεως αὐτῶν δεήσεως ἐγγράφου,
ἤχθησαν πρὸς τὸν Ἀμηρᾶν τῇ ἐκείνου προστάξει.
Ὑπῆρχε δὲ καθήμενος ἐφ' ὑψηλοῦ τοῦ θρόνου,
χρυσοκολλήτου, φοβεροῦ, ἀπέξωθεν τῆς τένδας,
κύκλῳ αὐτοῦ παρίσταντο πλήθη ἀνδρῶν ἐνόπλων.
Καὶ πλησίον γενόμενοι, ἀκούει τούτων λόγους,
καὶ προσκυνήσαντες αὐτὸν μέχρι τρίτου ἐδάφους,

86 Αὖθις ἵππων ἐπέβησαν—

65. Ἔθνη καὶ ἐθνικοὺς ὠνόμαζον οἱ Βυζαντινοὶ τοὺς μὴ Χριστιανοὺς καὶ ἑπομένως καὶ τοὺς Μουσουλμάνους. Βλέπε σχετικῶς ὑποσημ. Α 594.
86. Βλέπε σχετικῶς διαφορὰς ἐν Α 332 ἑξ.
90. Δύσκολος κλεισοῦρα ἢ δειναὶ κλεισοῦραι ἐκαλοῦντο αἱ περίφημοι Κιλίκιαι πῦλαι τοῦ Ταύρου, περὶ ὧν βλέπε ὑποσημ. Α 976.

μετὰ δακρύων ἔλεγον τῷ Ἀμηρᾷ τοιάδε.
«Ἀμηρᾶ, δοῦλε τοῦ Θεοῦ καὶ πρῶτε τῆς Συρίας,
»νὰ φθάσῃς εἰς τὴν Πάνορμον, ἴδῃς τὸ μασγιδίον,
»νὰ προσκυνήσῃς, Ἀμηρᾶ, τὸν κρεμάμενον λίθον, 3α
»καὶ ἀξιωθῇς ἀσπάσασθαι τὸ μνῆμα τοῦ Προφήτου,
»νὰ ἀκούσῃς τῆς προσευχῆς τῆς καθιερωμένης.
»Κόρην τερπνὴν ἀφήρπαξας, ἀδελφὴν ἡμετέραν,
»πώλησον ταύτην πρὸς ἡμᾶς, δοῦλε Θεοῦ Ὑψίστου,
»καὶ ἀντ' αὐτῆς σοι δώσομεν πλοῦτον ὅσον κελεύεις·
»θρηνεῖ γὰρ δι' αὐτὴν ὁ πατὴρ ὡς μὴ ἔχων ἑτέραν,
»θανεῖν ἡ μήτηρ βούλεται ταύτην μὴ καθορῶσα·
»ἡμεῖς δὲ πόθον ἄπειρον πρὸς αὐτὴν κεκτημένοι,
»πάντες ἐπωμοσάμεθα ὅρκοις φρικωδεστάτοις
»ἂν τὴν οὐχ' ὑποστρέψωμεν καὶ οἱ πάντες νὰ σφαγῶμεν».
Ἀκούων ταῦτα ὁ Ἀμηρᾶς καὶ τὴν τόλμην θαυμάσας,
πρὸς τὸ μαθεῖν δῆτα στερεῶς εἰ τυγχάνουν ἀνδρεῖοι,
ἀκριβῶς γὰρ ἠπίστατο τὴν τῶν Ρωμαίων γλῶτταν,
ἠρέμα ἀπεκρίνατο, λέγων αὐτοῖς τοιάδε·
«Εἰ ποθεῖτε τὴν ἀδελφὴν ποιῆσαι ἐλευθέραν,
»εἷς χωρισθήτω ἀφ' ὑμῶν, ὃν ἔχετε γενναῖον,
»καὶ ἂς καβαλλικεύσωμεν ἐγώ τε καὶ ἐκεῖνος,
»καὶ ἂς μονομαχήσωμεν ἐγώ τε καὶ ἐκεῖνςς.
»Καὶ εἰ μὲν τρέψω τον ἐγώ, δούλους ὑμᾶς νὰ ἔχω,
»εἰ δὲ κἀκεῖνος τρέψει με, χωρὶς λόγου παντοίου
»νὰ λήψεσθε τὴν ἀδελφήν, μηδὲν ζημιωθέντες,
»καὶ ἕτερα αἰχμάλωτα παρ' ἐμοῦ εὑρεθέντα,
»ἄλλως γὰρ οὐ πεισθήσομαι τὴν ἀδελφὴν παρέξαι,
»εἰ καὶ τὸν πλοῦτον δώσητε πάσης τῆς Ρωμανίας. 3β
»Ἀπέλθετε, σκοπήσατε ὅπερ ὑμῖν συμφέρει».
Εὐθὺς ἐξῆλθον ἅπαντες χαίροντες τῇ ἐλπίδι·
ἀλλ', ἵνα μὴ φιλονεικοῦν ποῖος νὰ πολεμήσῃ,
λαχνοὺς θεῖναι προέκριναν καὶ ἔλυσαν τὴν ἔριν·

114 εἰ τυγχάνον ἀνδρεῖοι—

101 ἑξ. Μασγίδια ἢ προσευκτήρια κυριώτατα τοῦ μωαμεθανικοῦ κόσμου ἦσαν τὰ κάτωθι τρία· 1) τὸ τῆς Μέκκας, ἔνθα ἡ περίφημος Καάβα, 2) τὸ τῆς Μεδινᾶς, ἔνθα ὁ τάφος τοῦ προφήτου Μωάμεθ, καὶ 3) τὸ τῆς Ἱερουσαλὴμ κτισθὲν ὑπὸ τοῦ Χαλίφου Ἀβδαλμαλὶκ (καὶ οὐχὶ ὑπὸ τοῦ Ὀμάρ, ὡς πλημμελῶς πιστεύεται), ἔνθα ὁ κρεμάμενος λίθος ὁ θεωρούμενος ὑπὸ τῶν Μουσουλμάνων ὡς ὁ θεμέλιος τοῦ κόσμου. Τὸ χωρίον πιθανὸν νὰ προῆλθεν ἐκ παρανοήσεως ὀφειλομένης εἰς ἀνεπαρκῆ γνῶσιν τῶν μουσουλμανικῶν πραγμάτων ὑπὸ τοῦ ποιητοῦ. Πρβλ. καὶ Καρολ. σελ. 219 ἑξ., ὡς καὶ εἰκασίας περὶ Πανόρμου σελ. 222 αὐτόθι. Περὶ ὀμφαλοῦ τῆς γῆς ἐν τῷ Παναγίῳ Ταφῳ τῆς Ἱερουσαλήμ, βλέπε καὶ Ψευδ. σελ. 174 καὶ 176.

ἔλαχε δὲ τὸν ὕστερον τὸν μικρὸν Κωνσταντῖνον,
ὃς δίδυμος ἐτύγχανε μετὰ τῆς αὐταδέλφης.
[§ 42] Ὁ πρῶτος νουθετῶν αὐτὸν ἤλειφε πρὸς ἀγῶνας·
«Μὴ ὅλως, λέγων, ἀδελφέ, φωναὶ καταπτοήσουν,
»μικρόν τι δειλιάσωσι, πληγαί σε ἐκφοβήσουν·
»κἂν γυμνὸν ἴδῃς τὸ σπαθίν, φυγεῖν οὕτω μὴ δώσῃς,
»κἂν ἄλλο τι δεινότερον εἰς τροπὴν μὴ ἐκφύγῃς·
»νεότητος μὴ φεῖσαι σὺ παρὰ μητρὸς κατάραν,
»ἧς εὐχαῖς στηριζόμενος τὸν ἐχθρὸν καταβάλεις·
»οὐ γὰρ παρόψεται Θεὸς δούλους ἡμᾶς γενέσθαι·
»ἄπιθι, τέκνον, εὔθυμον, μὴ δειλιάσῃς ὅλως».
Καί, στάντες πρὸς ἀνατολάς, Θεὸν ἐπεκαλοῦντο·
«Μὴ συγχωρήσῃς δέσποτα, δούλους ἡμᾶς γενέσθαι».
Καί, ἀσπασάμενοι αὐτόν, προέπεμψαν εἰπόντες·
«Ἡ τῶν γονέων μας εὐχὴ γένηται βοηθός σου!»
[§ 43] Ὁ δὲ ἐφ' ἵππου ἐπιβὰς μαύρου, γενναιοτάτου,
σπαθὶν διαζωσάμενος, λαμβάνει τὸ κοντάριν,
ἐβάσταξε καὶ τὸ ραβδὶν εἰς τὸ ραβδοβαστάκιν·
τὸ δὲ σημεῖον τοῦ σταυροῦ φραξάμενος παντόθεν,
τὸν ἵππον ἐπελάλησεν, εἰς τὸν κάμπον ἐξῆλθε· 4α
ἔπαιξε πρῶτον τὸ σπαθίν, εἶθ' οὕτως τὸ κοντάριν.
Καί τινες τῶν Σαρακηνῶν ὠνείδιζον τὸν νέον·
«Ἴδε ποῖον ἐξέβαλον πρὸς τὸ μονομαχῆσαι
τὸν τρόπαια ποιήσαντα μεγάλα εἰς Συρίαν!»
[§ 46] Εἷς δέ τις τῶν Σαρακηνῶν Ἀκρίτης Διλεβίτης
γαληνὰ πρὸς τὸν Ἀμηρᾶν τοιόνδε λόγον ἔφη·
«Ὁρᾷς τὸ καταπτέρνισμα ἐπιδέξιον ὅπως,
»σπαθίου τὴν ὑποδοχήν, γύρισμα κονταρίου;
»Ταῦτα πάντα ἐμφαίνουσι πεῖραν τε καὶ ἀνδρείαν·
»ὅρα λοιπὸν μὴ ἀμελῶς τὸ παιδίον προσκρούσῃς,
[§ 44] Ἐξέβη καὶ ὁ Ἀμηρᾶς εἰς φάραν καβαλλάρης
θρασύτατος ὑπῆρχε γὰρ καὶ φοβερὸς τῇ θέᾳ,
τὰ ἅρματα ἀπέστιλβον ἡλιακὰς ἀκτῖνας·

149 φραγξάμενος—162 ὑπάρχει γὰρ—

131. Ὁ Κωνσταντῖνος φέρεται ἐνταῦθα ὡς ὁ μικρότερος τῶν ἀδελφῶν ἐν ἀντιθέσει πρὸς τὰ κείμενα Α καὶ Π, ἔνθα φέρεται ὡς ὁ πρεσβύτερος. Πρβλ. σχετικῶς ἐν Α 320 καὶ ταυτάριθμ. ὑποσημ. Πρὸς τὴν διασκευὴν Κα 131 συμφωνοῦν καὶ πολλὰ δημώδη ᾄσματα καὶ παραδόσεις καὶ παραμύθια, ἔνθα ὁ μικρότερος ἀδελφὸς φέρεται πάντοτε ὡς ὁ ἱκανώτερος.
134 ἑξ. Εἰς τὰ κείμενα Α, καὶ Π οἱ λόγοι οὗτοι φέρονται λεχθέντες ὑπὸ τῆς μητρὸς πρὸς τὸν υἱὸν καὶ οὐχὶ ὑπὸ τῶν ἀδελφῶν, ὡς ἐνταῦθα. Πρβλ. διαφορὰς ἐν Α 324 ἑξ. καὶ Ε 1 ἑξ.

κοντάριν ἐμαλάκιζε βένετον, χρυσωμένον.
[§ 45] Καὶ πάντες συνεξήλθασιν εἰς θέαν τοῦ πολέμου·
ὁ φάρας ἔπαιζε τερπνῶς πάντας ὑπερεκπλήττων,
τοὺς γὰρ πόδας τοὺς τέσσαρας εἰς ἓν ἐπισυνάγων,
καθάπερ ὡς ἐν μηχανῇ, ἐκάθητο ἐκεῖσε·
ἄλλοτε δὲ ἐφαίνετο λεπτοπυκνοβαδίζων,
ὡς δοκεῖν μὴ περιπατεῖν, ἀλλὰ χαμαὶ πετᾶσθαι.
[§ 45-47] Ὁ δ' Ἀμηρᾶς τερπόμενος καθώσπερ ἐπεγέλα,
παρευθὺς ἐπελάλησεν, εἰς τὸν κάμπον ἐξῆλθε,
κραυγάζων ὥσπερ ἀετὸς καὶ συρίζων ὡς δράκων, 4β
ὡς λέων ὠρυόμενος καταπιεῖν τὸν νέον.
Ὁ δὲ τοῦτον δεξάμενος εὐθέως καὶ συντόμως,
καὶ κονταρέας δώσαντες, ἐκλάσθησαν τῶν δύο,
ἑτέρου μὴ ἰσχύσαντος τὸν ἕτερον κρημνῖσαι·
καὶ τὰ σπαθία σύραντες, ἔσωθεν χεῖρας δόντες,
ἀλλήλους ἐσυνέκοπτον ἐπὶ πολλὰς τὰς ὥρας.
[§ 48] Τὰ ὄρη ἀντιδόνησαν, οἱ βουνοὶ βροντὰς εἶχον,
τὸ αἷμα δὲ κατέρρεε τὴν γῆν ἐκείνην ὅλην,
οἱ ἵπποι ἠγανάκτησαν πάντας ἔκπληξις εἶχεν,
ὁλόπληγοι γεγόνασι, μηδεὶς τροπὴν ποιῶν τε.
[§ 49-50] Ὡς δὲ καὶ τὸ παράδοξον Σαρακηνοὶ κατεῖδον,
καὶ τὸ πολὺ θαυμάσαντες τὸ πρόθυμον τοῦ νέου,
ἔκστασιν δὲ τὴν ἄπειρον καὶ τὴν γενναίαν τόλμην,
ἅπαντες πρὸς τὸν Ἀμηρᾶν ὁμοφώνως ἐλάλουν·
«Ἀγάπην ἐπιζήτησον, τὸν δὲ πόλεμον ἄφες,
»ὁ Ρωμαῖος δεινός ἐστι, μή σε κακοδικήσῃ».
[§ 51] Καὶ πρὸς φυγὴν ὁ Ἀμηρᾶς εὐθέως ἐξετράπη,
καὶ ὁ πολλὰ καυχώμενος ἡττήθη κατὰ κράτος·
καὶ γὰρ καύχησις ἅπασα οὐκ ἀγαθὴ τυγχάνει.
Πόρρωθεν ρίπτει τὸ σπαθίν, χεῖρας εἰς ὕψος ἄρας,
τοὺς δακτύλους ἐσταύρωσεν, ὡς ἦν αὐτοῖς τὸ ἔθος,
καὶ ταύτην πρὸς τὸν ἄγουρον τὴν φωνὴν ἐπαφῆκεν·
«Παῦσε, καλὲ νεώτερε· σὸν γὰρ ἐστι τὸ νῖκος·
»δεῦρο λάβε τὴν ἀδελφὴν καὶ τὴν αἰχμαλωσίαν».
[§ 52] Καὶ λύσαντες τὸ θέατρον, ἀπῆλθον εἰς τὴν τένδαν·
καὶ ἦν ἰδεῖν τοὺς ἀδελφοὺς χαρμονῆς ἐμπλησθέντας·

176 ἔπαιξε τερπνῶς—169 ἄλλως τε ἐφαίνετο—171 καθώσπερ ἐπηγγείλω,—

180. ἑξ. Τὰ τῆς μονομαχίας τοῦ Κωνσταντίνου μὲ τὸν Ἀμηρᾶν παρουσιάζουσιν ἀναλογίας πρὸς τὰ παρὰ τοῦ Κεδρηνοῦ ἱστορούμενα περὶ μονομαχίας τοῦ Βάρδα Σκληροῦ πρὸς Βάρδαν Φωκᾶν, καθ' ἣν ὁ τελευταῖος, καίτοι ἐπανειλημμένως ἡττηθεὶς ἐν μάχῃ, ἐνίκησε τὸν πρῶτον. Πρβλ. Λάμπρου Ἱστορίαν Ε' 151 269 ἑξ. Κυριακ. Διγ. Ἀκρ. 108 ἑξ., ὡς καὶ ὑποσημ. Α 369 ἑξ

χεῖρας εἰς ὕψος ἄραντες Θεὸν δοξολογοῦσι·
«Ἡ δόξα, πάντες λέγοντες, Σοὶ μόνῳ Θεῷ πρέπει,
»ὁ γὰρ ἐλπίζων ἐπὶ Σὲ οὐ μὴ καταισχυνθείη». 5α
Τὸν ἀδελφὸν ἠσπάζοντο μετὰ περιχαρίας,
οἱ μὲν φιλοῦσι χεῖρας του, ἄλλοι τὴν κεφαλήν του.
[§ 53] Τὸν δ' Ἀμηρᾶν ἀμφότεροι θερμῶς παρακαλοῦσι·
«Δός, Ἀμηρᾶ, τὴν ἀδελφήν, καθὼς ἡμῖν ὑπέσχου,
»καρδίαν παραμύθησον τὴν λύπῃ βαρυνθεῖσαν».
[§ 54] Ὁ Ἀμηρᾶς δὲ πρὸς αὐτοὺς οὐκ ἀληθεύων ἔφη·
«Σφραγῖδα λάβετε ἐμήν, γυρεύσατε τὰς τένδας
»πανταχοῦ ἐρευνήσατε, ἴδετε τὰ φουσσᾶτα·
»τὴν ἀδελφὴν γνωρίσαντες, λαβόντες πορευθῆτε».
[§ 55] Οἱ δὲ μετὰ πολλῆς χαρᾶς τὴν σφραγῖδα λαβόντες,
τὸν δόλον ἀγνοήσατες, ἐπιμελῶς ἠρεύνουν,
καὶ πανταχοῦ γυρεύσαντες, μηδὲν δὲ εὑρηκότες,
λυπούμενοι ὑπέστρεφον πρὸς Ἀμηρᾶν εὐθέως.
[§ 56] Καὶ καθ' ὁδὸν Σαρακηνῷ ἀγροίκῳ συναντῶσιν·
ἐκεῖνος ἔφη πρὸς αὐτοὺς διὰ τοῦ δραγουμάνου·
«Τίνα ζητεῖτε, ἄγουροι, τίνος χάριν θρηνεῖτε;»
Οἱ δὲ ἀνταπεκρίθησαν λέγοντες μετὰ θρήνων·
«Κόρην ᾐχμαλωτεύσατε ἀδελφὴν ἡμετέραν,
»καὶ ταύτην μὴ εὑρίσκοντες οὐ ζῆν θέλομεν ἔτι».
[§ 57] Στενάξας δ' ὁ Σαρακηνὸς τοιόνδε λόγον ἔφη·
«Διέλθετε εἰς τὸ ὑπαύχενον, εὑρήσετε ρυάκιν,
»χθὲς ἐν αὐτῷ ἐσφάξαμεν εὐγενικὰς ὡραίας,
»διότι οὐκ ἐπείθοντο εἰς ἃ ταῖς ἐλαλοῦμεν».
[§ 58] Ἐλάλησαν τοὺς ἵππους των, ἀπῆλθον εἰς τὸ ρυάκιν,
πολλὰς σφαμμένας εὕρηκαν εἰς τὸ αἷμα βαπτομένας· 5β
ὧν μὲν αἱ χεῖρες ἔλειπον, κρανία τε καὶ πόδες·
ὧν δὲ τὰ μέλη ἅπαντα, καὶ τὰ ἔγκατα ἔξω,
γνωρισθῆναι ὑπό τινος μὴ δυνάμενα ὅλως.
[§ 59] Καὶ ταῦτα θεασάμενοι, ἔκπληξις τούτους εἶχεν,
καὶ χοῦν λαβόντες ἀπὸ γῆς ταῖς κεφαλαῖς προσραίνουν,
ὀδυρμούς τε ἐκίνησαν καὶ θρήνους ἐκ καρδίας·

233 ὀδυρμούς τε ἐκίνησαν—

227 ἑξ. Τὰ περὶ νεοσφαγῶν πτωμάτων εἰκάζω ὅτι προέρχονται ἐξ ἀπομιμήσεως ἀναλόγου σκηνῆς περιγραφομένης εἰς τὰ Αἰθιοπικὰ τοῦ Ἡλιοδώρου, βιβλ. Α', ἐδάφ. 3 ἑξ. «Ὁ δὲ αἰγιαλός, μεστὰ πάντα σωμάτων νεοσφαγῶν» κλπ. Βλέπε ἐν Β' τόμῳ παρόντος ἔργου Βιβλιογραφίαν, σελ. μα'—μβ', τίτλ. 28α, ἰδίως νεωτάτην ἔκδοσιν Rattenbury—Lumb—Maillon, Belles Lettres, Παρίσιοι 1935, τόμ. α', σελ. 2 ἑξ.
232 ἑξ. καὶ χοῦν λαβόντες. Πρβλ. ἀντίστοιχον χωρίον ἐν Α 440 καὶ ταυτάριθμ. ὑποσημ.

«Ποίαν χεῖρα συγκόψομεν, ποίαν κλαύσομεν κάραν;
»ποῖον μέλος γνωρίσαντες τῇ μητρὶ κομισῦμεν;
[§ 62] »Ὦ ἀδελφὴ παγκάλλιστε, πῶς ἀδίκως ἐσφάγης;
»ὦ γλυκυτάτη μας ψυχή, πῶς σοὶ τοῦτο συνέβη;
»πῶς δὲ παρ' ὥραν ἔδυνας καὶ ἔσβεσας τὸ φῶς μας,
»πῶς κατεκόπης μεληδὸν ὑπὸ χειρὸς βαρβάρων;
»πῶς οὐκ ἐνάρκησεν ἡ χεὶρ τοῦ ἀσπλάγχνου φονέως,
»τοῦ μὴ κατελεήσαντος σοῦ τερπνὴν ἡλικίαν,
»τοῦ μὴ κατοικτειρήσαντος φωνήν σου τὴν ὡραίαν;
»Ὄντως εὐγενικὴ ψυχή, παρὰ τὴν ἀχρειοσύνην,
»ᾑρετίσω τὸν θάνατον καὶ σφαγὴν ὀλεθρίαν.
[§ 63] »Ἀλλ' ὦ ἀδελφὴ παγκάλλιστε, ὦ ψυχὴ καὶ καρδία,
»πῶς σε διαχωρίσομεν ἐκ τῶν λοιπῶν σωμάτων;
»ἕξομεν τοῦτο κἂν μικράν τινα παραμυθίαν;
»Ὦ ὥρα πανδεινότατε καὶ δολία ἡμέρα,
»μὴ ἴδοις ἥλιόν ποτε, μὴ φῶς σοι ἀνατείλοι,
»σκότους ἐμπλήσοι σε Θεός, ὅταν τὴν ἀδελφήν μας
»ἀνηλεῶς κατέκοπτον οἱ ἄνομοι ἀδίκως!
»ποῖον μητρὶ ἐλεεινῇ μήνυμα κομιοῦμεν;
[§ 61] »Ἥλιε τί ἐφθόνησας τὸ ὡραῖον μας ἀδέλφιν 6α
»ἀδίκως ἐθανάτωσας δι' οὗ ἀντέλαμπέ σου!»
[§ 64] Ἀλλ' ὅμως, ὡς οὐκ ἴσχυσαν εὑρεῖν τὴν ἀδελφήν των,
τάφον ἕνα ποιήσαντες κατέθαψαν ἁπάσας,
καὶ θρηνοῦντες ὑπέστρεφον πρὸς Ἀμηρᾶν εὐθέως
θερμὰ κινοῦντες δάκρυα ἐκ μέσης τῆς καρδίας·
«Δός, Ἀμηρᾶ, τὴν ἀδελφήν, εἰ δ' οὐ θανάτωσόν μας,
»οὐδεὶς ἡμῶν ἄνευ αὐτῆς ὑποστρέφει ἐν οἴκῳ,
»ἀλλὰ σφαγῶμεν ἅπαντες διὰ τὴν ἀδελφήν μας».
[§ 65] Ἀκούων ταῦτα ὁ Ἀμηρᾶς, ὁρῶν δὲ καὶ τοὺς θρήνους,
ἤρξατο τούτους ἐρωτᾶν· «Τίνος ἐστὲ καὶ πόθεν;
»γένους ποίου τυγχάνετε; ποῖον θέμα οἰκεῖτε;»
«Ἡμεῖς ἐκ τὸ Ἀνατολικόν, ἐξ εὐγενῶν Ρωμαίων,

243 διὰ τὴν ἀχρειωσύνην,—259 Δὸς ἡμῖν, Ἀμηρᾶ, τὴν ἀδ.—

253. Ἥλιε τί ἐφθόνησας. Πρβλ. διαφορὰς ἐν Α 444 ἑξ. καὶ Α 450 ἑξ. Ἡ ἐπίκλησις πρὸς τὸν ἥλιον δὲν εἶναι μίμησις ἐκ τοῦ Εὐσταθίου Μακρεμβολίτου, περὶ οὗ βλέπε σχετικὴν ὑποσημ. ἐν Α 440 ἑξ., ἀλλὰ προέρχεται ἐκ παλαιοτέρων σοφιστικῶν μυθιστορημάτων, ὧν ἴχνη διεσώθησαν εἰς τὰς λαϊκὰς παραδόσεις, τοὺς μύθους καὶ τὰ ᾄσματα. Βλέπε σχετικῶς καὶ μελέτην: Ὁ ἥλιος κατὰ τοὺς δημώδεις μύθους, ἐν Πολίτου Λαογρ. Συμμ. Β'. 133 ἑξ.
257. Πρβλ. διαφορὰς ἐν Α 477 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ.
265. Πρόκειται περὶ τοῦ Ἀνατολικοῦ θέματος. Πρβλ. ὑποσημ. Α 488.

»ὁ πατήρ μας κατάγεται ἀπὸ τῶν Κινναμάδων.
[§66] »Ἡ δὲ μήτηρ μας Δούκισσα, γένους τῶν Κωνσταντίνου.
»Στρατηγοὶ μὲν οὖν δώδεκα ἐξάδελφοι καὶ θεῖοι,
»ἐξ ὧν ὅλοι τυγχάνομεν μετὰ τῆς αὐταδέλφης.
»Ὁ πατήρ μας ἐξόριστος διά τινα μωρίαν,
»ἣν αὐτῷ προεξένησαν τινὲς τῶν συκοφάντων.
[§ 67] »Οὐδεὶς ἀφ' ἡμῶν ἔτυχεν εἰς τὴν ἐπέλευσίν σου,
»καὶ γὰρ ἡμεῖς ὑπήρχομεν στρατηγοὶ εἰς τὰς ἄκρας·
»εἰ γὰρ ἐκεῖ ἐτύχομεν, οὐκ ἂν τοῦτο συνέβη,
»οὐκ ἂν εἰς οἶκον μας ποτὲ εἴχετε πορευθῆναι·
»ἀφ' οὗ δὲ οὐκ ἐτύχομεν, καλῶς νὰ τὸ καυχᾶσαι.
[§ 68]»Ἀλλ' ὦ Ἀμηράδων μέγιστε καὶ πρῶτε τῆς Συρίας,
»νὰ προσκυνήσῃς τὸν Βαγδᾶ· εἰπέ, καὶ σὺ τίς εἶ γε· 6β
»καὶ εἰ στραφοῦν οἱ συγγενεῖς ἀπὸ τοῦ ταξιδίου,
»φέρουν καὶ τὸν πατέρα μας ἀπὸ τὴν ἐξορίαν,
»νά σε καταζητήσωμεν ὅπου δ' ἂν καὶ τυγχάνῃς,
»οὐ γὰρ ἂν ἀνεκδίκητον ἐάσομεν τὴν τόλμην».
[§ 69] «Ἐγώ, καλοὶ νεώτεροι, ὁ Ἀμηρᾶς ἀντέφη,

272 εἰς τὴν ἔλευσίν σου,—281 ναί σε καταζητήσωμεν—

266. Περὶ τῶν διαφορῶν καὶ συγχύσεων, τὰς ὁποίας παρουσιάζουν τὰ διάφορα κείμενα τοῦ Ἔπους ὡς πρὸς τὴν γενεαλογίαν τῶν ἀδελφῶν, βλέπε ὑποσημ. Α 489 ἑξ.

267. Περὶ τῆς καταγωγῆς τῆς μητρὸς τῶν ἀδελφῶν βλέπε ὑποσημ. Α 492 ἑξ. Ἡ γενεὰ τῶν Δουκῶν φέρεται καταγομένη ἐκ τοῦ Κωνσταντίνου τοῦ μεγάλου. Βλέπε σχετικῶς Τ (Sath. Legr.) σελ. LXV, ὡς καὶ σελ. CXLVII—CXLVIII αὐτόθι, ἔνθα παρατίθενται σχετικὰ χωρία τοῦ Νικηφ. Βρυεννίου καὶ τοῦ Ζωναρᾶ. Βλέπε ὡσαύτως καὶ Ψελλοῦ Χρονογραφίαν, ἔκδ. Renauld τομ. β', σελ. 134 καὶ σελ. 140.

270. ἑξ. Περὶ τῆς ἐξορίας τοῦ πατρὸς τῶν πέντε ἀδελφῶν βλέπε ἰδίως ὑποσημ. Α 495 ἑξ. Βλέπε ἐπίσης καὶ ὑποσημ. Α 23, Α 290, (εἰς τὰς προσθήκας Α' τόμου παρόντος ἔργου, σελ. 272) καὶ Α 1368. Πρβλ. ὡσαύτως ἐν Κα 63 καὶ Κδ 55 καὶ Κδ 59.

283. Περὶ τῆς γενεαλογίας τοῦ Ἀμηρᾶ, βλέπε ὑποσημ. Α 515. Ὁ ἐνταῦθα Χρυσοβέργης εἶναι ὁ Παυλιανίτης ἡγεμὼν τῆς Τεφρικῆς, Χρυσόχειρ, περὶ οὗ βλέπε ἐν τῇ ὡς ἀνωτέρω μνημονευομένῃ ὑποσημ. Α 515, ὁ δὲ ἀμέσως κατωτέρω, ἐν στίχ. Κα 285, Καρόης εἶναι ὁ ἐπίσης Παυλιανίτης Καρβέας. Περὶ ἀμφοτέρων, πλὴν τῆς ὑποσημ. Α 515, βλέπε καὶ ἐν Εἰσαγωγῇ τοῦ παρόντος ἔργου, α' τόμ., σελ. ιθ' καὶ ὑποσημ. 21, ὡς καὶ Χρονολ. πίνακα αὐτόθι ἔτη 863, 870—873.

278. Κατὰ τὸν Καρολίδην πρόκειται περὶ φιλοφρονήσεως ἑρμηνευομένης: νὰ ἀξιωθῇς νὰ προσκυνήσῃς τὸν ἐν Βαγδατίῳ Χαλίφην. Πρβλ. Καρολ. σελ. 225. Ἡ ἑρμηνεία αὐτὴ μοῦ φαίνεται ἀπίθανος, πρόκειται δὲ μᾶλλον περὶ συγχύσεως ἢ παρανοήσεως ὀφειλομένης εἰς ἀνεπαρκῆ ἐκ μέρους τοῦ ποιητοῦ γνῶσιν τῶν μουσουλμανικῶν πραγμάτων καὶ ἀναλόγου πρὸς τὴν ἐν Κα 101 ἑξ. (βλέπε αὐτόθι καὶ ταυτάριθμ. ὑποσημ.).

»Χρυσοβέργου υἱός εἰμι, μητρὸς δὲ τῆς Πανθίας.
[§ 70] »Ἄμβρων ὑπῆρχέ μου παπποῦς, θεῖος μου ὁ Καρόης·
»τέθνηκε γάρ μου ὁ πατὴρ ἔτι νηπίου ὄντος·
»παρὰ μητρὸς ἐδόθην δὲ εἰς συγγενεῖς Ἀράβους,
»οἵτινες μὲ ἀνέθρεψαν εἰς τὸ εὖ μετὰ πόθου·
»ὁρῶντες δέ με εὐτυχῆ εἰς πάντας τοὺς πολέμους,
»ἐξουσιαστὴν ἐποίησαν εἰς ὅλην τὴν Συρίαν,
»καὶ ἐκλεκτούς μοι ἔδωκαν τρισχιλίους κονταράτους·
»πᾶσαν Συρίαν ὑπέταξα καὶ ἐπίασα τὸ Κοῦφερ,
»καὶ μικρόν τι καυχήσομαι πρὸς ὑμᾶς ἀληθεύων,
»τὴν Ἡράκλειαν ὕστερον ἐξήλειψα ταχέως·
»τὸ Ἀμόριν δὲ καταλαβὼν ἄχρι τοῦ Ἰκονίου,
»πλήθη λῃστῶν ὑπέταξα καὶ πάντα τὰ θηρία.
[§ 71] »Ἐμοὶ οὐκ ἀντεστάθησαν στρατηγοί, οὐ φουσσᾶτα·
»γυνὴ δέ με ἐνίκησε πάνυ ὡραιοτάτη,
»ταύτης τὰ κάλλη φλέγουν με, τὰ δάκρυα μαραίνουν,
»οἱ στεναγμοὶ φλογίζουν με, τί ποιῆσαι οὐκ ἔχω,
»δι' αὐτὴν ὑμᾶς ἐπείραζον ἵνα τὸ βέβαιον μάθω,
»οὐδέποτε γὰρ παύεται ὑπὲρ ἡμῶν θρηνοῦσα.
[§ 72] Πάντως ἐξαγορεύω σας, τὴν ἀλήθειαν λέγω· 7α
»εἰ οὐκ ἀπαξιώνετε τοῦ ἔχειν με γαμβρόν σας,
»διὰ τὰ κάλλη τὰ τερπνὰ τῆς ὑμῶν αὐταδέλφης,
»νὰ γένωμαι χριστιανός, στραφεὶς εἰς Ρωμανίαν·
»καὶ μάθετε τὸ βέβαιον, μὰ τὸν μέγαν Προφήτην,
»οὔτε φίλημα, μ' ἔδωκεν, οὔτε τινὰ λαλίαν·

292 Τὸ Κοῦφε—

285. Ἄμβρων ἐκαλεῖτο ὑπὸ τῶν Βυζαντινῶν «ὁ τῆς Μελιτηνῆς Ἄμερ, ὃν οὕτω πως συμφθείροντες τὰ στοιχεῖα Ἄμβρον ἐκάλεσαν οἱ πολλοί». (Συνεχιστὴς IV, 16). Πρόκειται περὶ τοῦ ἐμίρου τῆς Μελιτηνῆς Ὀμάρ, περὶ οὗ βλέπε ὑποσημ. Α 515, Α 955, Α 1286, ὡς καὶ ἐν εἰσαγωγῇ τοῦ α' τόμου τοῦ παρόντος ἔργου, σελ. ιθ' καὶ ὑποσημ. 23, καθὼς καὶ Χρονολ. πίνακα αὐτόθι, σελ. νγ', ἔτος 863. Οἱ Ἄραβες ἐκάλουν τοῦτον Ὀμὰρ-Ἴμπν-Ἄβδ-Ἀλλὰχ-Ἀλακτά. Ἀλακτὰ εἶναι παρωνύμιον καὶ σημαίνει «μονόχειρ», οἱ δὲ Παυλιανῖται ἐκάλουν τὸν Ὀμὰρ «Μονοχεράρην». Βλέπε σχετικῶς ἐν Τ (Sath. Legr.), σελ. LXXXII καὶ ὑποσημ. 3 αὐτόθι. Περὶ Πανθίας καὶ τῆς σχέσεως τοῦ ὀνόματος πρὸς τὰ σοφιστικὰ μυθιστορήματα βλέπε ὑποσημ. Α 515, ἐν τέλει.

288. εἰς τὸ εὖ μετὰ πόθου. Πρβλ. διαφορὰς ἐν Α 519 (81) βλέπε ἰδίως ταυτάριθμον παραλλαγὴν Τ.

292. Περὶ Κοῦφερ, Ἡρακλείας, Ἀμορίου καὶ Ἰκονίου, βλέπε ὑποσημ. Α 525 ἑξ. καὶ Α 4291 ἑξ. Ἀνάλογον κατόρθωμα ἀναφέρεται ὑπὸ τοῦ Θεοφάνους (Patrol. Graeca Migne, τομ. 109, στήλ. 407) προκειμένου περὶ τοῦ Ἄρουν-ἄλ-Ρασίδ (Ἀαρὼν-Ἀρούν). Πρβλ. Καρολ. σελ. 193 καὶ ὑποσημ. 1 αὐτόθι, Παπαρρηγ. Ἱστορ. Γα 51, καὶ ὑποσημ. Κα 29.

»δεῦτε οὖν εἰς τὴν τένδαν μου· ἴδετε ἣν ζητεῖτε».
[§ 73] Ἐκεῖνοι ταῦτα ὡς ἤκουσαν ἀπὸ περιχαρίας
τὴν τένδαν ἀνεσήκωσαν καὶ ἔσωθεν εἰσῆλθον,
εὗρον κλίνην χρυσόστρωτον, χαμαὶ δὲ τὸ κορίτζιν,
ὡς ἔκειτο, Χριστέ, ἐκεῖ, ἔλαμπεν ὡς ἀκτῖνες,
οἱ ὀφθαλμοὶ κατάβροχοι ἦσαν ἐκ τῶν δακρύων.
[§ 74] Ἣν ἰδόντες οἱ ἀδελφοὶ ἀνέστησαν σπουδαίως,
καὶ ταύτην μετ' ἐκπλήξεως ἕκαστος κατεφίλει·
ἀπροσδοκήτου γὰρ χαρᾶς ἐλθούσης παρ' ἐλπίδα,
χαίρονται πάντες οἱ αὐτῆς τυχόντες ἀνελπίστως·
ὁμοῦ θλῖψιν ὑπέφερον τὰ δάκρυα καὶ πόνους
καὶ χαρὰν τὴν πανθαύμαστον τὴν τότε γεναμένην.
[§ 75] Ὡς δὲ ταύτην ἠσπάζοντο μετὰ περιχαρίας,
καὶ δάκρυα προσέβαλλον ποιοῦντες μετὰ θρήνων·
καὶ «ζῇς» ἔλεγον «ἀδελφή, ζῇς ψυχὴ καὶ καρδία,
»ἡμεῖς θανοῦσαν σε εἴχομεν καὶ σπαθοκοπημένην·
»ἀλλ' οὖν τὰ κάλλη ζῶσαν σε ἐτήρησαν, φιλτάτη,
»τὰ κάλλη γὰρ καὶ τοὺς λῃστὰς ἡμέρους ἐκποιοῦσι,
»καὶ πολεμίους φείδεσθαι νεότητος καὶ κάλλους».
[§ 76] Εἶθ' οὕτως, βεβαιώσαντες τὸν Ἀμηρᾶν μεθ' ὅρκου
γαμβρὸν ἵνα τὸν λάβωσιν, ἂν ἔλθῃ εἰς Ῥωμανίαν, 7β
τὰ βούκινα ἐδώκασιν, ὑπέστρεφον εὐθέως,
καὶ πάντες ἐξεπλήσσοντο λέγοντες πρὸς ἀλλήλους·
«Ὢ θαῦμα ὅπερ βλέπομεν, δύναμις τῶν Ῥωμαίων,
»αἰχμάλωτα ἀναλύουσι, φουσσᾶτα καταλύουν,
»πίστιν ἀρνεῖσθαι πείθουσι, θάνατον μὴ φοβεῖσθαι».
Καὶ ἀκουστὸν ἐγένετο εἰς τὸν σύμπαντα κόσμον
ὅτι κόρη πανεύγενος, μὲ τὰ τερπνά της κάλλη,
φουσσᾶτα ἐκατέλυσε περίφημα Συρίας.

ΠΕΡΙ ΤΗΣ ΓΕΝΝΗΣΕΩΣ ΤΟΥ ΑΚΡΙΤΟΥ

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

[§ 77] Ἐπεὶ δὲ ὅρκους προὐβάλλοντο γαμβρὸν νὰ τὸν ⟨ἐπάρουν,
ἐπῆρε τοὺς ἀγούρους του ὁ Ἀμηρᾶς εὐθέως,
εἰς Ῥωμανίαν ὑπέστρεφε διὰ τὴν ποθητήν του.
Ὅταν δὲ κατελάμβανε μέρη τῆς Ῥωμανίας,
ἠλευθέρωνεν ἅπαντας οὓς εἶχεν αἰχμαλώτους,
ἑκάστῳ δοὺς ἐφόδια εἰς τὴν ὁδὸν ἀρκοῦντα.
[§ 78] Οἱ δὲ τῆς κόρης ἀδελφοὶ τῇ μητρὶ πάντα γράφουν,
τῆς ἀδελφῆς τὴν εὕρεσιν, τοῦ Ἀμηρᾶ τὸν πόθον,
τὸ πῶς πίστιν ἠρνήσατο, συγγενεῖς καὶ πατρίδα·
καὶ «ὦ μῆτερ παμπόθητε, μή τινα θλῖψιν ἔχῃς·
»γαμβρὸν γὰρ ἔχειν θέλομεν πάγκαλον καὶ ὡραῖον,
»τὴν χρείαν δὲ ἑτοίμασον ἅπασαν τὴν τοῦ γάμου».
[§ 79] Ἡ δὲ ταῦτα ἀκούσασα, τῷ Θεῷ ηὐχαρίστει·
«Δόξα, Χριστέ μου, λέγουσα, τῇ σῇ φιλανθρωπίᾳ
»δόξα τῇ δυναστείᾳ σου, ἐλπὶς τῶν ἀνελπίστων,
»ὅσα γὰρ θέλεις δύνασαι, οὐδὲν ἀδυνατεῖ σοι, 8α
»αὐτὸν γὰρ τὸν πολέμιον ἥμερον κατειργάσω,
»καὶ θυγατέρα τὴν ἐμὴν ἐρρύσω ἐκ θανάτου.
[§ 80] »Ἀλλ', ὦ θύγατερ ποθεινή, φῶς τῶν ἐμῶν ὀμμάτων,
»πότε σὲ ζῶσαν ὄψομαι, φωνῆς τῆς σῆς ἀκούσω;
»Ἰδοὺ καὶ γάμον γὰρ τὸν σὸν ηὐπρέπισα καὶ χρείαν,
»ἆρα νυμφίος ἔσται σοι παρόμοιος τοῦ κάλλους;
»ἆρα τὴν γνώμην θέλει σχεῖν τῶν εὐγενῶν Ῥωμαίων;
»φοβοῦμαι, τέκνον μου καλόν, μὴ ἄστοργος ὑπάρχῃ,
»μὴ θυμώδης ὡς ἐθνικός, καὶ ζῆν με οὐ συμφέρῃ».
Ταῦτα μὲν ἡ στρατήγισσα χαίρουσα ἐμελῴδει.
[§ 81] Ὁ δ' Ἀμηρᾶς καὶ μετ' αὐτοῦ οἱ ἀδελφοὶ τῆς κόρης

1 Ἐπειδὴ ὅρκους—10 θλῖψιν ἔξεις-ἔχῃς·—11 γαμβρὸν ἔχειν θέλομεν—

1. Ὡς πρὸς τὴν διαίρεσιν τοῦ ποιήματος εἰς κεφάλαια καὶ εἰδικῶς προκειμένου περὶ τοῦ δευτέρου λόγου πρβλ. διαφορὰς ἐν Α 569—570, βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.

24 ἑξ. βλέπε ἀντίστοιχ. χωρίον ἐν Α 593 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. περὶ τοῦ ᾄσματος τοῦ νεκροῦ ἀδελφοῦ, ὡς καὶ σχετικὰς μελέτας Πολίτου, Wollner, Psichari καὶ Schismanov. Πρβλ. καὶ Βιβλιογραφίαν ἐν α' τόμ., σελ. μη', τίτλ. 107-111 ὡς καὶ ἐν Τ (Sath. Legr), σελ. XLIX, ἔνθα διατυποῦται ἡ ἀρχικὴ ἰδέα τῆς σχέσεως τοῦ ᾄσματος τούτου πρὸς τὸ Ἀκριτ. ἔπος. Ἐθνικός: Πρβλ. Α 594, ὡς καὶ Κα 65 καὶ ταυταρίθμ. ὑποσημ.

χαίροντες ἅμα τῆς ὁδοῦ ἤρχοντο μετὰ μόχθου·
ἡνίκα δ' ἐπλησίασαν εἰς τὸν ἴδιον οἶκον,
λαὸς πολὺς καὶ συγγενεῖς εἰς ἀπαντὴν ἐξῆλθον,
εἶθ' οὕτως ἡ στρατήγισσα μετὰ δόξης μεγάλης.
[§ 82] Τὴν δὲ χαρὰν τὴν ἄπειρον τὴν τότε γιναμένην
τίς φράσαι ὅλως δυνηθῇ, ἢ ὅλως παρεικάσαι;
Τὰ τέκνα γὰρ ἠσπάζοντο μητέρα μετὰ πόθου,
καὶ ἡ μήτηρ εὐφραίνετο ἀληθῶς ἐπὶ τέκνοις.
[§ 83] Ἰδοῦσα δὲ καὶ τὸν γαμβρὸν περικαλλῆ τῷ ὄντι,
χάριν Θεῷ ἀνέπεμψεν ἐξ ὅλης τῆς καρδίας·
«Κύριε, λέγουσα, Χριστέ, πᾶς ὁ εἰς Σὲ ἐλπίζων
»οὐκ ἀπέτυχε πώποτε τῶν ἐπιθυμουμένων».
[§ 84] Εἰς δὲ τὸν οἶκον φθάσαντες ἐποίησαν τοὺς γάμους,
καὶ τῷ θείῳ βαπτίσματι τὸν γαμβρὸν τελειοῦσι. 8β
Ἡ δὲ χαρὰ ἐπηύξανε ἡ πάνδημος ἐκείνη,
ἔχαιρε γὰρ ὁ Ἀμηρᾶς τυχὼν τῆς ἐρωμένης,
οὐ γάρ ἐστιν ἐρωτικῆς ἀγάπης χαρὰ κρείττων·
ὅσον φλέγεται ὁ ἐρῶν ἐπὶ ἀποτυχίᾳ,
τοσοῦτον χαίρει ὁ ἐρῶν τυχὼν τῆς ἐρωμένης.
[§ 85] Μετὰ δὲ τὴν συνάφειαν συνέλαβεν ἡ κόρη,
καὶ ἔτεκε τὸν Διγενῆ Βασίλειον Ἀκρίτην,
ἔτι δὲ μᾶλλον ηὔξανε τοῦ Ἀμηρᾶ ὁ πόθος.
[§ 87] Ἡ δὲ μήτηρ τοῦ Ἀμηρᾶ γραφὴν ἀπὸ Συρίας
θρήνου μεστὴν ἐξέπεμψεν, ὀνειδισμοῦ καὶ ψόγου.
[§ 88]«Τὰ ὀμμάτια μου ἐτύφλωσας καὶ ἔσβεσας τὸ φῶς μου,
»ὦ τέκνον ποθεινότατον, πῶς μητρὸς ἐπελάθου
»πῶς ἀπηρνήσω συγγενεῖς καὶ πίστιν καὶ πατρίδα,
»καὶ ἐγεννήθης ὄνειδος εἰς πᾶσαν τὴν Συρίαν;
»Βδελυκτοὶ δὲ γεγόναμεν ἀπὸ παντὸς ἀνθρώπου,
»ὡς ἀρνηταὶ τῆς πίστεως, ὡς παραβάται νόμου,
»ὡς μὴ τηρήσαντες καλῶς τοὺς λόγους τοῦ Προφήτου.
[§ 89] »Τί συνέβη σοι, τέκνον μου, πῶς αὐτῶν ἐπελάθου
»πῶς γὰρ οὐκ ἐμνημόνευσας τὰς πράξεις τοῦ πατρός σου,

28 χαίροντες ἄμφω τῆς ὁδοῦ—36 γαμβρὸν περιχαρῆ τῷ ὄντι—44 οὐδὲ γὰρ ἐστίν—

35. Πρβλ. Α 605—606 καὶ ταυτάριθμ. ὑποσημ.
41. Πρβλ. Α 612, Α 1175, Α 4306 ἑξ. καὶ ταυταρίθμους ὑποσημ.
50. Πρβλ. διαφορὰς ὡς πρὸς τὴν διαίρεσιν τῶν κεφαλαίων καὶ δὴ τοῦ δευτέρου λόγου ἐν Α 628 (173). Βλέπε καὶ ὑποσημ. Κβ 1.
60. Κατὰ τὰ κείμενα τοῦ Ἀκριτ. ἔπους πατὴρ τοῦ Ἀμηρᾶ ὑπῆρξεν ὁ Χρυσοχέρπης ἢ Χρυσοβέργης, ἤτοι ὁ Χρυσόχειρ, περὶ οὗ ἐγένετο λόγος ἐν τοῖς προηγουμένοις. Βλέπε σχετικῶς ἐν Κα 283, Α 515 καὶ ταυταριθμ. ὑποσημ., ὡς καὶ ἀντίστοιχ. χωρίον ἐν Α 642 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ.



Μπάϊλμπουρτ. (Ἐρζερούμ) Ἡ πόλις καὶ τὸ φρούριον.



Ἀργυρούπολις. Ἐνορία Παναγίας



Μερική ἄποψις τῆς Ἀντιοχείας τῆς Συρίας



Τοπεῖα παρὰ τὸν Ἄνω Εὐφράτην τῆς Μελιτηνῆς



Μερική ἄποψις τῆς Σμύρνης

»ὅσους Ρωμαίους ἔσφαξε, πόσους ἔφερε δούλους;
»οὐκ ἐγέμισε φυλακὰς στρατηγῶν καὶ τοπάρχων;
»οὐκ ἐκούρσευσε θέματα πολλὰ τῆς Ρωμανίας,
»καὶ αἰχμαλώτους ἔφερεν εὐγενικὰς ὡραίας;
»μὴ ἐπλανήθη ὥσπερ σὺ γενέσθαι παραβάτης;
[§ 90]»Ὅταν γὰρ τὸν ἐκύκλωσαν φουσσᾶτα τῶν Ρωμαίων,
»οἱ στρατηγοὶ τὸν ὤμνυον ὅρκους φρικωδεστάτους, 9α
»πατρίκιος νὰ τιμηθῇ παρὰ τοῦ βασιλέως,
»νὰ γενῇ πρωτοστράτορας, ἂν ρίψῃ τὸ σπαθίν του.
»Ἀλλ' ἐκεῖνος, προστάγματα φυλάττων τοῦ Προφήτου,
»δόξης μὲν κατεφρόνησε, πλοῦτον δὲ οὐ προσέσχε,
»καὶ μεληδὸν τὸν ἔκοψαν καὶ ἀπῆραν τὸ σπαθίν του.
[§ 91] »Σὺ δέ, ἀνάγκην μὴ εἰδώς, πάντα ὁμοῦ παρεῖδες,
»τὴν πίστιν μὲν τοὺς συγγενεῖς, κἀμὲ τὴν σὴν μητέρα
»Ὁ ἀδελφός μου, ὁ θεῖος σου, ὁ μουρσῆς ὁ Καρόης
»εἰς Σμύρνην ἐταξίδευσεν εἰς τὸ παραθαλάσσιν,
»τὴν Ἄγκυραν ἐκούρσευσε, τὴν Ἄβυδον τὴν πόλιν,
»τὴν Ἀφρικήν, τὴν Τέρενταν, καὶ τὴν Ἑξακωμίαν,
»καὶ ταῦτα τροπωσάμενος ἐστράφη εἰς Συρίαν.
[§ 92] »Σὺ δὲ ὁ δυστυχέστατος ἐποίησας ταξίδιν,
»Ὅταν ἤθελες δοξασθῆν παρ' ὅλην τὴν Συρίαν,
»τὰ πάντα προσαπώλεσας δι' ἀγάπην χανζυρίσσης
»καὶ κατάρατος γέγονας εἰς πάντα μαογιδίον.
[§ 93] »Εἰ μὴ παρέλθῃς γὰρ ταχὺ καὶ ἔλθῃς εἰς Συρίαν,

69 πρωτοστάτωρας—72 τὸν σπαθίν του.—76 εἰς Μύρνην ἐταξ.—82 προσαπώλεσας—

75. Κατὰ τὸ παρὸν χωρίον ἡ μήτηρ τοῦ Ἀμηρᾶ φέρεται ὡς ἀδελφὴ τοῦ Παυλιανίτου Καρβέα. Πρβλ. σχετικῶς διαφορὰς ἐν Α 656 (201) καὶ ταυτάριθμ. ὑποσημ. Βλέπε καὶ παρατηρήσεις Κυριακίδου ἐν Λαογραφίας Γ' 632. Φαίνεται ὅτι τὴν ὀρθὴν παράδοσιν διέσωσε ἡ διασκευὴ Κβ 75 διὰ τοῦ παρόντος χωρίου ἐν ἀντιθέσει πρὸς τὰ λοιπὰ κείμενα, διότι ἀνάλογος εἴδησις περὶ Καρβέα καταλαβόντος τὸ θέμα Θρακησίων μέχρις Ἀγκύρας εὕρηται παρὰ Γενεσίῳ σελ. 121—6, ἐκδ. Βόννης. Βλέπε σχετικῶς μελέτην Grégoire, ἐν Byzantiou V, σελ. 329: Les sources historiques de Digènis Acritas, ἀναφερομένην ἐν Βιβλιογραφίᾳ παρόντος ἔργου, τομ. α', σελ. μ', τίτλ. 14. Πρβλ. ὡσαύτως καὶ ὑποσημ. Α 657, ἔνθα γίνεται λόγος περὶ τῆς πλημμελῶς εἰς τὰ κείμενα ἀναγραφομένης Ἀφρικῆς, ἤτοι τῆς πρωτευούσης τῶν Παυλιανιτῶν Τεφρικῆς, τῆς Τέρεντας καὶ τῆς Ἑπτακωμίας. Ἡ Τεφρικὴ κατεστράφη περὶ τῷ 874, βλέπε σχετικῶς χρονολ. πίνακα ἐν α' τόμῳ παρόντος ἔργου σελ. νγ'.

82. δι' ἀγάπην χανζυρίσσης=χάριν τοῦ ἔρωτος πρὸς μίαν μαγαρισμένην ποὺ τρώγει χοίρειον κρέας (chinzir, chanzir=χοῖρος, ἀραβιστί). Βλέπε σχετικῶς ἐν Α 663 καὶ ταυτάριθμ. ὑποσημ.

»οἱ Ἀμηρᾶδες βούλονται ἐμὲ ν' ἀποτομήσουν,
»τὰ τέκνα σου νὰ σφάξωσιν ὡς πατρὸς ἀποστάτου,
»τὰ τερπνά σου κοράσια νὰ παραδώσουν ἄλλοις,
»ἃ καὶ στενάζουν διὰ σέ, ὑπομονὴν οὐκ ἔχουν.
«Ὦ τέκνον μου γλυκύτατον, οἰκτείρησον μητέρα·
«μὴ καταγάγῃς γῆρας μου εἰς ᾅδου μετὰ λύπης,
»καὶ μὴ θελήσῃς τέκνα σου τοῦ σφαγῆναι ἀδίκως·
»μηδὲ παρίδῃς δάκρυα τερπνῶν σου κορασίων, 9β
»καὶ ἐκδαφίσῃ σε Θεὸς ὁ μέγας ἐκ τοῦ κόσμου.
[§ 94] »Ἰδοὺ ἔστειλά σοι, ὡς ὁρᾷς, ἐπίλεκτα φαρία·
»τὴν βάδεαν καβαλλίκευε, παρέσυρε τὴν μαύρην,
»ἡ δαγάλ' ἂς ἀκολουθῇ, καὶ οὐδεὶς οὐ μὴ σὲ φθάσῃ,
»λάβε καὶ τὴν Ρωμάϊσσαν, εἰ δι' αὐτὴν λυπῆσαι·
»εἰ δὲ καὶ παρακούσῃς μου, ἔσῃ κατηραμένος».
[§ 95] Λαβόντες δὲ τὰ γράμματα ἐκλεκτοὶ Ἀραβῖται
διὰ πολλῆς ταχύτητος ἦλθον εἰς Ρωμανίαν·
ἦν δέ τις οἶκος μήκοθεν, τόπος ἡ Λακκοπέτρα,
ἐκεῖσε ἡμπλικεύσασι τοῦ μὴ φανερωθῆναι.
[§ 96] Οἳ καὶ τούτῳ ἐδήλωσαν διὰ γραμματοφόρου.
«Τὸ φέγγος λάμπει ὁλονυκτί, ὁδεύσωμεν, εἰ βούλει».
Ὡς δὲ εἶδεν ὁ Ἀμηρᾶς τὴν γραφὴν τῆς μητρός του,
εὐσπλαγχνίσθη κατὰ πολὺ ὡς υἱὸς τὴν μητέρα,
τὰ τέκνα κατηλέησε καὶ τὰς αὐτῶν μητέρας,
ζῆλος ἀνήφθη εἰς αὐτὸν εἰ περιλάβουν ἄλλους
οὐ γὰρ ποτὲ λανθάνεται ἀρχὴ ἑτέρου πόθου,
τοῦτον δὲ κατημαύρωσεν ἡ ἀγάπη τῆς κόρης,
πόνος γὰρ ὁ σφοδρότατος ἀμαυροῖ τὸν ἐλάσσω,
καὶ ἵστατο διαπορῶν, θέλων τι διαπρᾶξαι.
[§ 97] Εἰς τὸ κουβούκλιν δ' εἰσελθὼν λέγει τὴν ποθητήν του·
«Λόγον τινὰ ἀπόκρυφον βούλομαί σοι θαρρῆσαι,
»ἀλλὰ φοβοῦμαι, πάντερπνε, μὴ οὐκ ἔνι εἰς ἀρεστόν σου·
»ἰδοὺ καιρὸς ἐφέστηκε τὸ βέβαιον νὰ μάθω,
»ἐὰν ἀγάπην εἰς ἐμὲ ἔχῃς καθαρωτάτην».
[§ 98] Ἡ δὲ ταῦτα ἀκούσασα ἐδήχθη τὴν καρδίαν, 10α

85 νὰ ποταμήσουν,—

85. ν' ἀποτομήσουν, τουτέστι νὰ κόψουν τὸ κεφάλι. Ἐκ τοῦ ἀποτομὴ καὶ ἀποτέμνω. Πρβλ. ταυτάριθμον γραφήν.
87 Πρβλ. σχετικῶς ἀντίστοιχ. χωρίον Α 6 8 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ.
95. ἑξ. βάδιος ἢ βάδεα, μαῦρος ἢ μαύρη, δαγάλλος ἢ δαγάλιν εἶναι ὀνόματα δηλωτικὰ ἵππων. Βλέπε σχετικῶς ὑποσημ. Α 3586.
101. Λακκοπέτρα. Βλέπε σχετικῶς ὑποσημ. Α 680. Πρβλ. καὶ Κβ 140.
107. Πρβλ. ἀνωτέρω στίχ. Κβ 87 καὶ ταυτάριθμ. ὑποσημ.

καὶ στενάξασα βύθιον τοιόνδε λόγον λέγει·
«Ὦ ἄνερ μου γλυκύτατε, αὐθέντα καὶ προστάτα,
»πότε λόγον σου ἤκουσα μὴ οὐκ ἔνι εἰς ἀρεστόν μου;
»ποία δέ γε περίστασις χωρίσει με σοῦ πόθου;
»πάντως κἂν δέῃ με θανεῖν, οὐκ ἀπαρνήσομαί σε·
»οἶδε γὰρ ἡ περίστασις φιλίαν δοκιμάζειν».
[§ 99–100] «Οὐ πρὸς θάνατον, φίλτατε, ὁ Ἀμηρᾶς ἀντέφη,
»τὰ δοκεῖς καὶ βουλεύεσαι μὴ γένοιτο, ψυχή μου·
»ἀλλὰ μητρὸς ἀπέλαβον γραφὴν ἀπὸ Συρίας,
»καὶ κινδυνεύει δι' ἐμέ, βούλομαι δὲ ὑπάγειν·
»ἐὰν καὶ σύ, ψυχίτζα μου, ἔρχεσαι μετ' ἐμέναν,
»οὐ θέλω χωρισθῆναι σοι οὐδὲ πρὸς ὥραν μίαν·
»καὶ πάλιν ὑποστρέψομεν διὰ πολλοῦ τοῦ τάχους».
«Μετὰ χαρᾶς, ὦ κύρκα μου, ἡ κόρη ἀπεκρίθη,
»τούτου χάριν μὴ θλίβεσαι, ὅπου κελεύεις, ἔλθω».
[§ 102] Θεὸς δέ τι θαυματουργῶν παράδοξον ἐνταῦθα,
καὶ τὸ κρύφιον βούλευμα κατ' ὄναρ εἰς φῶς ἄγει.
[§ 103] Ὁ γὰρ ὕστερος ἀδελφὸς τῆς κόρης ὄναρ εἶδεν·
καὶ ἐκ τοῦ ὕπνου ἀναστάς, τοὺς ἀδελφοὺς καλέσας,
τὸ ὄναρ διηγήσατο τῆς νυκτὸς ὅπερ εἶδεν·
«Ἤμην καθήμενος, φησίν, ἐπάνω ἐν τῷ οἴκῳ,
»καὶ ἱέρακας ἔβλεπον ἐπὶ τὴν Λακκοπέτραν,
»καὶ φάλκωνα πολεμικὸν διώκων περιστέραν·
»ὡς δὲ ταύτην ἐδίωκε καὶ τελείωσιν εἶχεν,
»ἀμφότεροι εἰσήλθοσαν ἔνδον τοῦ κουβουκλίου,
»ἔνθα διάγει ὁ γαμβρὸς μετὰ τῆς αὐταδέλφης.
»Συντόμως ἐξεπήδησα, ἔδραμον νὰ τὴν πιάσω, 10β
»συνεταράχθη μου ἡ ψυχή, ἔξυπνος ἐγενόμην».
[§ 104] Τότε ὁ πρῶτος ἀδελφὸς τὸ ὅραμα συγκρίνει·
«Ἱέρακες, ὡς λέγουσιν, ἄνδρες ἅρπαγες εἶναι,
»φάλκωνα δὲ ὃν ἔβλεπες, φοβοῦμαι τὸν γαμβρόν μας,
»περιστερὰν τὴν ἀδελφὴν μήπως τὴν ἀδικήσῃ·
»ἀλλ' ἂς ἀπέλθωμεν ἐκεῖ ἔνθα τὸ ὄναρ εἶδες,
»ἔνθα καὶ τοὺς ἱέρακας ἔβλεπες πετωμένους».
[§ 105] Καβαλλικεύουν παρευθύς, ἀπῆγον εἰς τὴν Πέτραν·
τοὺς Ἀραβίτας ηὕρηκαν μετὰ καὶ τῶν φαρίων·

121 ποτὲ λόγον οὐκ ἤκουσα μὴ οὐκ ἔνι εἰς ἀρεστόν σου· (Διώρθωσα κατὰ Α 705 (256).—

132. ὦ κύρκα μου. Πρὸς ἑρμηνείαν τῆς κλητικῆς προσφωνήσεως ταύτης βλέπε ὑποσημ. Α 2943. Πρβλ. διαφορὰς ἀντιστοίχ. χωρίου ἐν Α 719 ἑξ.
147. Πρβλ. σχετικῶς ἀντιστοιχ. χωρίον ἐν Α 755 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. ὡς καὶ ὑποσημ. Α 745 ἑξ.

ἰδόντες δ' ἐξεπλάγησαν, τὸ ὅραμα θαυμάζουν·
«Καλῶς ἤλθετε, λέγοντες, ἄγουροι τοῦ γαμβροῦ μας,
»πῶς ὧδε ἠμπλικεύσατε, τὸν οἶκον μας ἀφέντες;»
[§ 106] Οἱ δέ γε μὴ δυνάμενοι ἀντειπεῖν ὡμολόγουν
τὸ βέβαιον ἐκφαίνοντες, οὐδὲν δὲ ἀπεκρύβη,
φόβος γὰρ ἀπροσδόκητος ἀληθείας ἐκφέρει,
ὁ δέ γε προσδοκώμενος γεννᾷ ἀπολογίας.
Οἱ παρευθὺς λαβόμενοι εἰς τὸν γαμβρὸν ἀπῆλθον,
κατονειδίζοντες αὐτὸν ὡς κακόβουλον ὄντα,
μᾶλλον δὲ καὶ ὁ ὕστερος θρασύτατος ὑπάρχων.
[§ 107] «Τὸ ἐνεθυμήθης, ἔλεγε, μὴ τὸ ἀποδοκιμάσῃς,
»καὶ γίνωσκε, Σαρακηνέ, οὐ μὴ ἴδῃς τὴν Συρίαν.
[§ 108] »Ἀλλ' ἐπειδὴ παράνομος καὶ ἐχθρὸς ἀπεφάνθης,
»τὴν ἀδελφήν μας ἔασον, τὸ τέκνον σου ἀρνήσου,
»καί, λαβὼν ἅπερ ἔφερες, πορεύου ὅθεν ἦλθες».
[§ 109] Ἀκούων ταῦτα ὁ Ἀμηρᾶς καὶ τοὺς ἐλέγχους
⟨βλέπων,
μὴ δυνάμενος ἀντειπεῖν παντελῶς ἐσιώπα, 11α
αἰσχύνης, φόβου, θλίψεως ἀνάμεστος ὑπάρχων·
ᾐσχύνετο γὰρ φωραθείς, ὡς ξένος ἐφοβεῖτο,
ἐλυπεῖτο μὴ χωρισμὸν ὑποστῇ τῆς φιλτάτης.
[§ 110] Μὴ ἔχων τί ποιήσειεν, εἰς τὴν κόρην εἰσῆλθε·
ταύτην γὰρ μόνην ἤλπιζεν εὑρεῖν παρηγορίαν,
μὴ γινώσκων ὅ,τι Θεὸς ἐδήλωσε κατ' ὄναρ·
«Καὶ τί τοῦτο ἐποίησας; ἐπεφώνει δακρύων·
»αὕτη ἔνι ἡ ἀγάπη σου καὶ οὕτως μοι ὑπέσχου;
»οὐχί μου πᾶσαν τὴν βουλὴν εἰς σὲ προσανεθέμην;
»οὐχὶ συνέθου τοῦ ἐλθεῖν μετὰ περιχαρίας;
»μὴ γὰρ σὲ κατηνάγκασα ἢ παρεβίασά σε;
»μᾶλλον σύ με ἠνάγκασες μετ' ἐμοῦ πορευθῆναι,
»καὶ καθ' ὁδὸν συγχαίρεσθαι καὶ πάλιν ὑποστρέψαι·
»σὺ δὲ φόβον μὴ ἔχουσα Θεοῦ πρὸ ὀφθαλμῶν σου,
»τοὺς ἀδελφοὺς ἠνάγκασας ἵνα μὲ θανατώσουν.
[§ 111] »Οὐ μνημονεύεις ἐξ ἀρχῆς τί μετὰ σοῦ ἐποίουν;
»αἰχμάλωτόν σε, ἥρπαξα, ἐτίμουν ὡς κυρίαν·
»δούλην σε ἔχειν ἤθελον, μᾶλλον εἶχες με δοῦλον·
»τοὺς γονεῖς καὶ τὴν πίστιν μου διὰ σὲ ἠρνησάμην,
»καὶ διὰ τὴν ἀγάπην σου ἦλθον εἰς Ρωμανίαν·

184 καὶ καθ' ὁδοῦ—

157 ἠμπλικεύσατε. Ἐκ τοῦ λατ. adplico = πλησιάζω, καταλύω. Βλέπε καὶ ἄπλικτα ἐν ὑποσημ. Κγ 84.

»σὺ δὲ θάνατον ἀντ' αὐτῶν ἐμνημόνευσας, κόρη.
[§ 112] »Βλέπε, καλή, μὴ παραβῇς τοὺς ἐν τῷ μέσῳ ὅρκους·
»μὴ ἀρνηθῇς τὸν ἔρωτα ὃν εἴχομεν ἐκ πόθου·
»εἰ γὰρ καταναγκάσουν με θλίβοντες οἱ ἀδελφοί σου,
»πάντως νὰ σύρω τὸ σπαθὶν καὶ σφάξω ἐμαυτόν μου,
»καὶ κρίνειν ἔχει ὁ Θεὸς μέσον τῶν ἀμφοτέρων· 11β
»σὲ δὲ τὰ εὐγενικόπουλα πάντα νά σε ὀνειδίζουν,
»ὅτι ἀνδρὸς μυστήριον οὐκ ἴσχυσας φυλάξαι,
»ὡς Δαλιδὰ δὲ τὸν Σαμψὼν παρέδωκας σφαγῆναι».
[§ 113] Πάντα θρηνῶν ὁ Ἀμηρᾶς ἔλεγε πρὸς τὴν κόρην,
ταύτην γὰρ ὑπελάμβανε τὴν βουλὴν φανερῶσαι,
ὁ ἔρως γὰρ ἀτιμασθεὶς φέρει κακολογίας.
Καὶ ἡ κόρη, ὡς ἤκουσεν, ἐννεὸς ἐγεγόνει,
μήτε λόγον προπέμψασθαι μηδόλως δυναμένη,
ἔμεινε δὲ στυγνάζουσα ἐπὶ πολλὰς τὰς ὥρας,
πᾶς γὰρ ὁ πταίων ἕτοιμος φέρειν ἀπολογίας,
ὁ δὲ μὴ πταίων σιωπᾷ, μὴ ἔχων τί λαλῆσαι.
[§ 114] Μόλις ποτὲ δὲ ἑαυτὴν ὡς εἰς πέρας λαβοῦσα·
«Τί μάτην ὀνειδίζεις με, ἐπεφώνει δακρύοις,
»τί, ἄνερ μου, κατηγορεῖς τὴν σὲ πολλὰ ποθοῦσαν;
»οὐκ ἔστι μοι, μὴ γένοιτο, τὴν βουλὴν φανερῶσαι·
»εἰ γὰρ τοῦτο ἐποίησα, ζῶσαν ἡ γῆ με πίοι,
»νὰ γένωμαι παράδειγμα πᾶσι τοῖς ἐν τῷ κόσμῳ,
»ὡς καὶ τοῦ ἀνδρὸς μυστήρια κατάδηλα ποιοῦσα».
[§ 115] Καὶ βλέπουσα τὸν Ἀμηρᾶν αὐξήσαντα τὸν θρῆνον,
παρὰ μικρὸν δὲ γέγονε παράφρων ἐκ τὴν θλῖψιν·
τὸ γὰρ πολὺ τῆς θλίψεως γεννᾷ παραφροσύνην,
ἐντεῦθεν καὶ παράνομον πολλοὶ κατατολμῶσι,
ἐφοβήθη μὴ ἑαυτὸν ἀναιρέσῃ τῷ ξίφει,
ἐξῆλθε πρὸς τοὺς ἀδελφοὺς τὰς τρίχας ἀνασπῶσα.
[§ 116] «Ὦ γλυκύτατοι ἀδελφοί τί μάτην ἐνοχλεῖτε
»τὸν μηδὲν ἀδικήσαντα; ἰδοὺ γὰρ ἀποθνήσκει· 12α
»ἰδοὺ ἀναιρέσει ἑαυτὸν ἀπὸ παραπληξίας·
»μὴ πρὸς Θεόν, ἀδέλφια μου, μὴ ἀδικηθῇ ὁ ξένος,
»ὃς δι' ἐμὲ ἠρνήσατο συγγενεῖς καὶ τὴν πίστιν,
»οὐ γὰρ ἐνάντιον ποτὲ καθ' ὑμῶν ἐβουλήθη·
»ἀρτίως δέ, φοβούμενος κατάραν τῆς μητρός του,
»εἰς Συρίαν ἀπέρχεται, σὺν αὐτῇ ἐπανήκει.
[§ 117] »Ἐξεῖπε γάρ μου τὴν βουλὴν ἔδειξε καὶ τὸ γράμμα.
»Καὶ πῶς ὑμεῖς, φειδόμενοι κατάρας τῆς μητρός μας,

197 καὶ κρίνειν ὁ Θ. ἔχει μέσον—

»μόνοι κατετολμήσατε ἐλθεῖν εἰς χιλιάδας
»καὶ πόλεμον συνάψασθαι δι' ἐμοῦ εἰς κλεισοῦραν,
»μὴ φοβηθέντες θάνατον, ἀλλὰ μητρὸς κατάραν;
»Δέδοικε ταύτην καὶ αὐτός, βούλεται πορευθῆναι».
[§ 118] Καὶ ταῦτα πρὸς τοὺς ἀδελφοὺς ἡ κόρη πάντα ⟨λέγει,
θερμὰ κινοῦσα δάκρυα, τίλλουσα καὶ τὴν κόμην.
Οἱ δὲ μὴ φέροντες ὁρᾶν τὴν ἀδελφὴν θρηνοῦσαν,
ὁμοφώνως ἀνέκραζον, ταύτην καταφιλοῦντες·
«Σὲ γὰρ οἱ πάντες ἔχομεν ψυχὴν καὶ θυμηδίαν,
»ἐπεὶ δὲ βούλει καὶ αὐτὴ τὸν γαμβρόν μας ἐκπέμψαι,
»Θεὸν παράσχοι μάρτυρα τάχιον, ὑποστρέψαι,
»ἡμεῖς δὲ νὰ εὐχώμεθα καλῶς εὐοδωθῆναι».
[§ 119] Καὶ ἀμφότεροι παρευθὺς εἰς τὸν γαμβρὸν ⟨εἰσῆλθον,
συγχώρησιν αἰτούμενοι τῶν πρώην λαληθέντων·
«Καὶ μὴ μνησθῇς ἡμῶν, γαμβρέ, ἀγνωσίας ρημάτων
»οὐ γὰρ ἡμῶν τὸ αἴτιον, πάντως γὰρ σὸν τὸ κρῖμα,
»τοῦ μὴ γνωρίσαντος ἡμῖν ἅπερ ἐβούλου πράξειν».
[§ 120] Ὁ δὲ καὶ συνεχώρησε πάντας καταφιλήσας·
σταθεὶς δὲ πρὸς ἀνατολάς, χεῖρας εἰς ὕψος ἄρας· 12β
«Χριστέ μου, ἐξεφώνησεν, Υἱὲ Θεοῦ καὶ Λόγε,
»ὁ ὁδηγήσας με πρὸς φῶς τῆς Σῆς θεογνωσίας,
»τοῦ σκότους λυτρωσάμενος καὶ τῆς ματαίας πλάνης,
»ὁ γινώσκων τὰ κρύφια καὶ λογισμοὺς καρδίας,
»εἰ ἐπιλάθωμαί ποτε γαμετῆς τῆς φιλτάτης,
»ἢ τοῦ τερπνοῦ ἀνθήματος τέκνου τοῦ παμποθήτου,
»καὶ οὐχ ὑποστρέψω τάχιον ἐκ τὴν ἐμὴν μητέρα,
»θηρίοις γένωμαι βορὰ καὶ πετεινοῖς ἐν ὄρει,
»μὴ καταλογιζόμενος χριστιανοῖς ἐν μέρει».
[§ 121] Καὶ ἀπὸ τότε ἤρξατο τῆς ὁδοῦ εὐτρεπίζειν,
καὶ συσκευάσας ἅπαντα ἡμερῶν δεκαπέντε,
γνωστὴ πᾶσιν ἐγένετο ἡ ἐξέλευσις τούτου,
καὶ πᾶν πλῆθος συνήρχετο συγγενῶν τε καὶ φίλων.
Καὶ ἦν ἰδεῖν τὸν ἔρωτα ὅνπερ εἶχον οἱ δύο·
κρατήσας γὰρ ὁ Ἀμηρᾶς ἐκ τῆς χειρὸς τὴν κόρην,
εἰσῆλθε μόνος μετ' αὐτῆς ἔνδον εἰς τὸ κουβούκλιν,
καὶ δάκρυα ἐκίνησαν ὡς ὄμβρος ἐκ καρδίας,
οἱ στεναγμοὶ ἀνέπεμπον ἦχον παρηλλαγμένον.
[§ 122] «Δός μοι λόγον, αὐθέντρια, δός μοι σὸν δακτυλίδιν,

235 Δέδοικε ταῦτα καὶ αὐτός,—

237. θερμὰ κινοῦσα δάκρυα. Βλέπε σχετικῶς ὑποσημ. Α 860.

»ἄς τὸ φορῶ, καλόγνωμε, ἕως οὗ ὑποστρέψω».
Ἡ δὲ κόρη στενάζουσα τὸν Ἀμηρᾶν ἐλάλει·
«Βλέπε, χρυσὲ αὐθέντα μου, μὴ παραβῇς τοὺς ὅρκους,
»καὶ Θεὸς ἀποδώσει σοι εἰ περιλάβῃς ἄλλην·
»Θεὸς γὰρ δίκαιος κριτὴς ἀξίως ἀποδίδων».
[§ 123] «Εἰ τοῦτο πράξω, φίλτατε, ὁ Ἀμηρᾶς ἀντέφη,
»ἢ ἀθετήσω ἔρωτα ὃν ἔχομεν ἐκ πόθου,
»ἢ θλίψω τὴν καρδίαν σου, ὦ πανευγενεστάτη, 13α
»χανοῦσα γῆ με λήψεται, ᾅδης με καταπίοι,
»καὶ μὴ ἐχάρην εἰς ἐσέ, τὴν μοσχομυρισμένην!»
[✱] Περιλαβόντες δὲ στερπνά, ἀπλήστως κατεφίλουν,
ὡς καὶ τὴν ὥραν εἰς πολὺ παρακατεκταθῆναι·
καὶ γέγοναν κατάβροχοι ἐκ τῶν πολλῶν δακρύων,
μόλις δὲ ἠδυνήθησαν ἀλλήλοις ἀποστῆναι,
τὸ πλῆθος μὴ αἰδούμενοι τῶν ἐκεῖ ἀθροισθέντων·
ἡ γὰρ ἀγάπη ἡ φυσικὴ φέρει ἀναισχυντίαν,
καὶ τοῦτο πάντες οἴδασιν οἱ τὸ φιλεῖν μαθόντες.
Εἶτα καὶ τέκνον τὸ αὐτοῦ λαβὼν εἰς τὰς ἀγκάλας,
θρηνῶν ταῦτα ἐφθέγγετο εἰς ἐπήκοον πάντων·
«Ἆρα ποιήσει με Θεὸς ἄξιον τοῦ ἰδεῖν σε,
»ὦ παιδίον γλυκύτατον, καβαλλάρην ἐμπρός μου·
»ἄρα, υἱέ μου Διγενές, διδάξω σε κοντάριν,
»ὡς ἂν καυχήσωνται ἐν σοὶ πάντες οἱ συγγενεῖς σου».
Καὶ ἐδάκρυσαν ἅπαντες τὸν Ἀμηρᾶν ὁρῶντες·
εἶθ' οὕτως ἵππον εὔθειον καὶ κομιδῇ γενναῖον
ἐπιβάντες οἱ ἄγουροι ἐξῆλθασι τοῦ οἴκου,
καὶ ὕστερον ὁ Ἀμηρᾶς εἰς φάραν καβαλλάρης.
[§ 124] Ἦτον τὸ πλῆθος δὲ πολὺ συγγενῶν τε καὶ φίλων,
καὶ συνεξέβαλον αὐτὸν μέχρι τριῶν μιλλίων·
καὶ πάντας ἀσπασάμενος ἐποίει ὑποστρέψαι,
αὐτὸς τῆς ὁδοῦ ἥπτετο ἅμα σὺν τοῖς ἀγούροις.

281 παρακατακταθῆναι—

268. ἦχον παρηλλαγμένον=ἐξόχως ὡραῖον Προῆλθεν ἐκ τοῦ ἀλλάσσω=
ὅρος τῆς αὐτοκρ. αὐλῆς. Ἐλέγετο προκειμένου περὶ τοῦ αὐτοκράτορος ἢ
μεγάλου ἀξιωματούχου ὑποχρεωμένου, ἀναλόγως τῆς ἑορτῆς καὶ τῆς ἐθιμο-
τυπίας, ν' ἀλλάσσῃ ἀλλεπαλλήλως διαφόρους πολυτελεῖς καὶ μεγαλοπρεπεῖς
στολάς, τὰ λεγόμενα ἀλλάξιμα. Βλέπε σχετικῶς ἐν Κωνσταντίνου Πορ-
φυρογεννήτου, Ἔκθεσ. βασιλείου τάξεως, ἐκδ. Vogt, Τομ. Α', σελ. 4 pas-
sim καὶ Commentaires, Τομ. Α', σελ. 24 (πλήρη τίτλον ἔργου βλέπε ἐν Βι-
βλιογραφίᾳ παρόντος ἔργου, τομ. α', σελ. μγ', τίτλ. 51). Ἐντεῦθεν προῆλθον
οἱ ὅροι ἀπαλλάσσω=καθαιρῶ τοῦ ἀξιώματος, τὸ σημερινὸν ἀπαλλάσσω τῶν
καθηκόντων, τὸ ἐξαλλάσσω, συνώνυμον τοῦ ἀλλάσσω, ὡς καὶ τὸ ἐξηλλα-
γμένος=φέρων μεγαλοπρεπῆ στολήν. Πρβλ. Α 3037 καὶ ταυτάριθμ. ὑποσημ.,
Α 3937, ὡς καὶ ἐν τοῖς Εὑρετηρίοις: ἐξηλλαγμένος καὶ παρηλλαγμένος. Πρβλ.
ἀντίστοιχ. χωρίον ἐν Α 892, βλέπε καὶ Κστ 177, ὡς καὶ ταυταρίθμ. ὑποσημ.

Η ΑΠΟ ΣΥΡΙΑΣ ΥΠΟΣΤΡΕΨΙΣ ΜΕΤΑ ΚΑΙ ΤΗΣ ΜΗΤΡΟΣ ΑΥΤΟΥ

ΛΟΓΟΣ ΤΡΙΤΟΣ

[§24-25*] Οὕτως δοῦλος πᾶς ὁ ἐρῶν τοῦ ἔρωτος ὑπάρχει, 14α
ἔστι γὰρ οὗτος δικαστὴς βασανίζων καρδίας
τῶν μὴ τηρούντων ἀκριβῶς τὰς ὁδοὺς τῆς ἀγάπης,
εὐστόχως πέμπει τὰς βολὰς καὶ τοξεύει καρδίας,
καὶ ἵσταται μετὰ πυρὸς τὸν λογισμὸν φλογίζων·
πᾶς δὲ ὃς τοῦτον κέκτηται οὐ δύναται ἐκφεῦξαι,
κἂν τῶν ἐνδόξων τίς ἐστι, κἂν τῶν πλουσιωτάτων,
ἐπαιρόμενος γὰρ αὐτοῦ ταχέως τοῦτον φθάνει.
[§178] Οὕτω τυχὼν ὁ Ἀμηρᾶς ὁ θαυμαστὸς ἐκεῖνος,
δόξης μὲν κατεφρόνησε καὶ ἀρχῆς τῆς μεγίστης,
ἐπελάθετο συγγενῶν, γονέων καὶ πατρίδος,
πίστιν δὲ ἀπηρνήσατο διὰ κόρης ἀγάπην
τερπνῆς τῷ ὄντι ἀληθῶς καὶ πανευγενεστάτης,
καὶ ὁ ποτὲ πολέμιος δοῦλος ἔρωτος ὤφθη,
εἰς Ρωμανίαν ᾤκησε διὰ τὴν ποθητήν του.
[§ 123] Γραφὴν ἀπολαβὼν αὐτὸς μητρὸς ἀπὸ Συρίας
ἐτύπωσε τοῦ ἀπελθεῖν δεδιὼς τὴν κατάραν·
πάντως γὰρ δίκαιόν ἐστι γονεῖς μὴ παροργίζειν,
καὶ γενομένης συμβουλῆς καὶ ὅρκου ἐν τῷ μέσῳ.
[§ 124] Πάντες προέπεμψαν αὐτὸν μετὰ περιχαρίας,
καὶ τραγῳδεῖν ἀπήρξατο παραμυθῶν τὴν κόρην·
«Ἄγουροι, δυναμώνεσθε φαρία μὴ κατοκνεῖτε,
»τὰς ἡμέρας σπουδάζετε, τὰς νύκτας ἀγρυπνεῖτε,
»βροχάς, χιόνας, παγετοὺς ἀντ' οὐδενὸς ἡγεῖσθε,
»μὴ βραδύνω τὸ σύνολον κατὰ τὴν ὡρισμένην,
»νὰ ὀνειδισθῶ εἰς ὑποστροφὴν καὶ ζῆν με οὐ συμφέρῃ».

6 οὐ δύναται ἐφεῦξαι—24 ἀντ' οὐδενὸς μιμεῖσθε,—

1 ἑξ. Τὸ χωρίον προέρχεται ἐξ ἀπομιμήσεως τῶν σοφιστικῶν μυθιστορημάτων καὶ δὴ τοῦ Ἀχιλλ. Τατίου: «Δοῦλός ἐστιν ἐρωτικῆς ἡδονῆς» κλπ., «Ὁ Ἔρως τοσαύτην ἔχει τὴν ἰσχύν, κλπ., «Ἵπταμαι καὶ τοξεύω καὶ φλέγω» κλπ. Πρβλ. Τάτ. βιβλ α', κεφ. ζ' καὶ ιζ', καὶ βιβλ. β', κεφ. ε'. Βλέπε ὡσαύτως καὶ ὑποσημ. Α 180 ἑξ.
14. Πρβλ. ἀνάλογον στίχον Κδ 47 καὶ ἀντίστοιχον ἐν Α 1355.
16. Πρβλ. διαφορὰς ἐν Α 904 ἑξ.
25-26. Πρβλ. διαφορὰς ἐν Α 913—914.

[§ 125] Εἶτα «χαίρεσθε» προσειπών, «ὦ συγγενεῖς καὶ ⟨φίλοι»,
καὶ πάντας ἀσπασάμενος εὔχεσθαι παρεκάλει, 14β
ὃ δὴ καὶ πεποιήκασι παρευθὺς ὁμοφρόνως·
«Ὁ Θεὸς ὁ φιλάνθρωπος ἵνα σε εὐοδώσῃ,
»καὶ καταξιωθείημεν διὰ τάχους ἰδεῖν σε».
Κακεῖθεν μὲν ὑπέστρεφον πάντες ἐπὶ τὸν οἶκον,
στυγνοί, ὄντες καὶ σκυθρωποὶ ὡς δεινὸν πεπονθότες.
Τοιοῦτος γὰρ ὁ χωρισμὸς πάντων τῶν ἀγαπώντων,
διότι καίει τὰς ψυχάς, δαμάζει τὰς καρδίας,
ταράσσει καὶ τοὺς λογισμοὺς παντελὴς χωρισία.
[§ 126] Ἥπτετο δὲ ὁ Ἀμηρᾶς μετὰ σπουδῆς τοῦ δρόμου,
καθ' ἑκάστην ἐξέπεμπε γραφὰς τῇ ποθητῇ του·
«Μὴ λυπηθῇς, παρακαλῶ, τοῦτο δ' εὔχεσθαι μᾶλλον».
[§ 127] Ἀγούρους δὲ τοὺς ἑαυτοῦ ἱκέτευεν ἐκ πόθου·
«Ἄρχοντες λέγων, ἄγουροι, φίλοι καὶ ἀδελφοί μου,
»ἀγρυπνήσατε δι' ἐμὲ καὶ κόπον ὑποστῆτε,
»συνταγὰς γὰρ ποιήσατε καὶ πολλὰς ὑποσχέσεις,
»ὡς ὑπέσχεσθε λέγοντες δι' ἐμοῦ ἀποθνῄσκειν,
»τοῦτο δὲ οὐ πρὸς θάνατον, ἐρωτικὸς ὁ μόχθος·
»φλέγεται γάρ μου ἡ ψυχή, καίεται ἡ καρδία,
»κατανοῶν τὸ ἄπειρον διάστημα τοῦ δρόμου·
»πότε κάμπους τοὺς φοβεροὺς διέλθωμεν, ἀγοῦροι,
»καὶ τοὺς βουνοὺς τοὺς φοβεροὺς καὶ τὰς δεινὰς κλεισούρας,
»καὶ τὴν Ραχὰβ θεάσομαι, ἴδω μου τὴν μητέρα;
[§ 128] »Καὶ πότε πάλιν ἅπαντα ταῦτα διαπεράσω, 15α
»ἐν τοῖς μέρεσιν ἔλθωμεν τῆς καλῆς Ρωμανίας,
»καὶ τὴν ἐμὴν θεάσομαι πέρδικαν τὴν ὡραίαν,
»καὶ ἄνθος τὸ πανεύγενον, τὸν πάγκαλον υἱόν μου;
»Τίς μοι παράσχοι πτέρυγας καὶ πετάσαι, φιλτάτη,
»καὶ εἰς ἀγκάλας δὲ τὰς σὰς πρὸς ὥραν καταπαῦσαι;
»πόσα στενάζει καὶ αὐτὴ δι' ἐμὲ ἀγρυπνοῦσα,
»καὶ σκοπεύουσα τὰς ὁδοὺς καθ' ἑκάστην ἡμέραν;
»πεφύκασι γὰρ μέριμναι πολλαὶ τοῖς ποθουμένοις
»καὶ φροντίδες διηνεκῶς, κίνδυνοί τε καὶ φόβοι.
[§ 129] »Ἀλλ', ὦ καλοὶ νεώτεροι, εὐγενικοί μου ἀγοῦροι,
»ὕπνον ἀποτινάξατε καὶ πᾶσαν ῥαθυμίαν,
»ὡς ἂν ταχέως φθάσωμεν εἰς τὸ Ραχὰβ τὸ κάστρον,

40 Πόσα ἱκετεύων-εν—57 Πόσα στενάζει—65 δι' ἐμὲ ἐκ κινδύνων—

50. Περὶ Ραχάβ, ἢ κάστρου τοῦ Ρουχᾶ, ἤτοι τῆς Ὀσροηνῆς Ἐδέσσης (Οὐρφά), βλέπε ὑποσημ. Α 939.

»εἶθ' οὕτως θέντες ἔλθωμεν πάλιν εἰς Ρωμανίαν·
»οὗ πολλάκις ἐρρύσθητε, δι' ἐμοῦ ἐκ κινδύνων;
[§ 130] »Καί, παρεάσας τὰ πολλά, ἓν ὑμῖν ὑπομνήσω,
»ὃ καὶ πρὸς ὥραν γέγονεν εἰς τὰ Μελλοκοπία
»ὁπότε μᾶς ἐκύκλωσαν οἱ στρατηγοὶ ἀθρόως
»καὶ ὥσπερ τεῖχος γύρωθεν ἔστησαν τὰ φουσσᾶτα,
»ὑμεῖς δὲ εἰς ἀπόγνωσιν κατήχθητε θανάτου,
»ἀποκλεισθέντες ἔνδοθεν πάντες ὥσπερ ἐν τάφῳ,
»μὴ ἐλπίζοντες τὶς ὑμῶν ἐξελθεῖν τῶν ἐκεῖσε·
»ἐγὼ δὲ ἐπελάλησα, μέσον αὐτῶν εἰσῆλθον,
»ὅσους εἰς ᾅδην ἔπεμψα οὐδ' ὑμεῖς ἀγνοεῖτε,
»μόνος δὲ τρέψας ἅπαντας καὶ φυγάδας ποιήσας,
»ἀβλαβεῖς διεσῴθημεν μὲ τὴν αἰχμαλωσίαν.
[§ 131] »Ἄρτι δ' οὐκ ἔστι πόλεμος, ἐρωτικὸς ὁ μόχθος, 15β
»καὶ ἐν τούτῳ παρακαλῶ συνεργοί μου γενέσθαι.»
Ταῦτα καὶ ἄλλα πλείονα τοῖς σὺν αὐτῷ ἐλάλει
ὁ Ἀμηρᾶς ἐν τῇ ὁδῷ μετὰ πόνου καρδίας·
οὕτως γὰρ φλέγει τοὺς αὐτῷ ὑπηκόους ὁ ἔρως,
ὡς πάντων μὲν καταφρονεῖν, αὐτὸν δὲ προσαγγέλλειν.
[§ 132]Καὶ ἀκούσαντες ἔλεγον οἱ ἄγουροι εὐθέως·
«Ὅπου θέλεις, αὐθέντα μου, ἂς γίνουν τ' ἄπληκτά σου,
»οὐ γὰρ εὑρίσκεις ἐφ' ἡμῖν ἀφορμὴν ῥᾳθυμίας».
Καὶ ἦν ἰδεῖν θαῦμα φρικτόν, ἀλλ' οὐκ ἄπιστον πᾶσι,
ἔρως γὰρ ἦν ὁ ὑπουργῶν καὶ συνεργῶν εἰς πάντα,
τρεῖς γὰρ μονὰς διήρχοντο καθ' ἑκάστην ἡμέραν.
[§ 133] Ὅτε δὲ κατελάμβανεν εἰς ἀοίκους κλεισούρας,
διήρχετο γὰρ γύρωθεν φυλάττων τοὺς ἀγούρους.
Ἐν μιᾷ οὖν ὁδεύοντες εἰς πάνδεινον κλεισοῦραν,

82 ὡς πάντων μὴν καταφρονεῖν,—

67. Τὰ Μελλοκοπία ἢ Μυλοκοπίδιν εἶναι ἡ Μαλακοπή. Περὶ τῆς ἐν Μαλακοπῇ μάχης βλέπε ὑποσημ. Α 955 ἑξ., ἐν εἰσαγωγῇ α' τόμου σελ. ιθ' καὶ ὑποσημ. 23 αὐτόθι, ὡς καὶ σελ. νγ' αὐτόθι, Χρονολ. πίνακα, ἔτος 863.

77. «Παιδιά, καὶ μὴ δειλιάσετε, παιδιά, μὴ φοβηθῆτε, γυναίκειος εἶν' ὁ πόλεμος, νυφαδιακὸς ὁ κοῦρσος!» Ἆσμα Ἀντρειωμένης Λυγερῆς ἀριθ. 72 Α' ἐν Πολίτου Ἐκλογαῖς ἐκδ. β' Ἀθῆναι 1925, σελ. 92, στιχ. 12-13. Πρβλ. καὶ ἐν Α 965 καὶ ταυτάριθμ. ὑποσημ.

84. ἄπληκτα (ἐκ τοῦ λατιν. applico, adplico) ἐκαλοῦντο τὰ μόνιμα στρατόπεδα, ἢ καταυλισμοὶ πρὸς προσωρινὴν διαμονὴν τῶν διερχομένων στρατευμάτων. Βλέπε σχετικῶς Καλομενοπούλου Ἡ στρατ. ὀργάνωσις τῆς ἑλλην. αὐτοκρατορίας τοῦ Βυζαντίου Ἀθῆναι 1937, σελ. 279. Πρβλ. καὶ ὑποσημ. Α 973, ὡς καὶ Κβ 157.

88. Πρὸς ἑρμηνείαν τοῦ στίχου βλέπε ὑποσημ. Α 975 (462).

91. Πρβλ. σχετικῶς ἀντίστοιχον χωρίον ἐν Α 976, βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι. Βλέπε καὶ Κα 90.

λέοντα εὗρον φοβερὸν κρατοῦντα ἐλαφίνα·
ὡς δὲ τοῦτον ἐσκέψαντο οἱ ἄγουροι, εὐθέως
θροηθέντες ἀνέδραμον πάντες ἐπὶ τὸ ὄρος·
καὶ λυπηθεὶς ὁ Ἀμηρᾶς πρὸς τὸν λέοντα ἔφη·
«Πῶς τοῦτο κατετόλμησας, δεινότατον θηρίον,
»καὶ παρεμπόδισας ὁδὸν ἐρωτικῆς φιλίας;
»ἀλλ' ἐγὼ τὴν ἀνταμοιβὴν ἀξίαν σοι παράσχω».
Μὲ τὸ ῥαβδίν τον ἔδωκε πλήρης εἰς τὴν μεσίαν,
καὶ εὐθὺς ἔμεινε στυγνὸς εἰς γῆν ἐξηπλωμένος.
[§ 134] Καὶ εὐθέως προσέταξε τοὺς ἰδίους ἀγούρους·
«Τοὺς ὀδόντας ἐκσπάσατε πάντας τοὺς τοῦ θηρίου,
»ὡσαύτως καὶ τοὺς ὄνυχας τῆς δεξιᾶς χειρός του,
»ἵνα, ὁπότε σὺν Θεῷ στραφῶ εἰς Ρωμανίαν, 16α
»φορέσωμεν αὐτούς, φημί, τὸν πάγκαλον υἱόν μου,
»τὸν Διγενῆ Καππάδοκα Ἀκρίτην τὸν γενναῖον».
[§ 135] Καὶ αὖθις πάλιν ἥπτετο τῆς ὁδοῦ μετὰ πόθου,
ἀλλήλοις προτρεπόμενος τοῦ προθύμως βαδίζειν.
Οὐδεὶς ἐν τούτῳ ῥάθυμος, οὐδεὶς ὕπνου μετέσχεν,
ἔρως γὰρ ἦν μέσον αὐτῶν τὶς νικήσει τὸν ἄλλον.
[§ 136] Ὅτε δὲ ἐπλησίασαν εἰς τὸ Ραχὰβ τὸ κάστρον,
προσέταξεν ὁ Ἀμηρᾶς ἔξω στῆσαι τὰς τένδας,
καὶ δύο τῶν ἀγούρων του εἰσελθεῖν εἰς τὸ κάστρον,
ὡς ἂν εἴπωσι τῇ μητρὶ τὴν ἐπέλευσιν τούτου.
Καὶ πορευθέντες τάχιον πεποιήκασι τοῦτο.
[§ 137] Ἡ δὲ μήτηρ ὡς ἤκουσε τοιαύτην ἀγγελίαν,
μικρόν περ καὶ ὠρχήσατο ἀπὸ περιχαρίας·
ὁμοίως καὶ οἱ συγγενεῖς ἐν γνώσει γεγονότες,
συνεξῆλθασιν ἅπαντες εἰς ἀπάντησιν τούτου·
καὶ πλησίον γενόμενοι ἔνθα ἦσαν αἱ τένδαι
προϋπήντα ὁ Ἀμηρᾶς πεζὸς μετὰ τζαγγίων.
[§ 138] Ὃν ἐπιγνόντες καὶ αὐτοὶ ἐπέζευον εὐθέως
ἐμπεπλησμένοι ἡδονῆς, δακρύων γεμισμένοι,
φέρει γὰρ δάκρυα χαρά, ἀθρόως ὅταν ἔλθῃ,
καὶ κατησπάζοντο αὐτὸν μοιράζοντες τὸν πόθον,
ἐντεῦθεν μὲν οἱ συγγενεῖς, ἐκεῖθεν δὲ ἡ μήτηρ,

101 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 987 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ.

121. Τζαγγία ἐκαλοῦντο ὑψηλὰ ὑποδήματα, ἅτινα ἐφόρουν οἱ βυζ. ἄρχοντες. Τοῦ βασιλέως τα τζαγγία ἦσαν ἐρυθρὰ καὶ διὰ πολυτίμων λίθων κεκοσμημένα μετὰ χρυσοκεντήτων ἀετῶν. Ὁ κατασκευαστὴς τζαγγίων ἐκαλεῖτο τζαγγάρης. Βλέπε σχετικῶς ἐν Μαυροφρ. Εὑρετήριον σελ. 534 τζαγγάρις. Βλέπε ὡσαύτως καὶ Carmina Wagner σελ. 312, στίχ. 279 καὶ σελ. 341, στιχ. 632, ὡς καὶ Καλομενοπούλου, Ἡ Στρατ. ὀργάνωσις τῆς Ἑλλην. αὐτοκρ. τοῦ Βυζαντίου, σελ. 185.

καὶ τὰ αὐτοῦ κοράσια ἀληθῶς μετὰ τέκνων
περιεπλέκοντο αὐτόν, ἀπλήστως κατεφίλουν,
καὶ χωρισθῆναι ἀπ' αὐτοῦ οὐκ ἤθελον οὐδόλως.
[§ 140] Εἰς δὲ τὴν τένδαν φθάσαντες ἐκάθισαν εὐθέως, 16β
καὶ λέγειν οὕτως ἤρξατο τοῦ 'Αμηρᾶ ἡ μήτηρ·
«Ὢ τέκνον μου γλυκύτατον, φῶς τῶν ἐμῶν ὀμμάτων,
»καὶ παραμύθιον ψυχῆς τῆς ἐμῆς ἐν τῷ γήρει,
»καὶ τερπνὸν ἀγαλλίαμα, ἡ ἐμὴ θυμηδία,
»εἰπέ μοι τί ἐβράδυνας, τέκνον, εἰς Ρωμανίαν;
»ἐγὼ γὰρ μὴ ὁρῶσα σε οὐκ ἤθελον φῶς βλέπειν,
»οὐθ' ἥλιον τὸν λάμποντα, οὔτε ζῆν ἐν τῷ κόσμῳ.
[✱] »Μὴ θαυμαστὰ παράδοξα. γίνονται εἰς Ρωμανίαν
»οἷα τελοῦνται, τέκνον μου, εἰς τὸ μνῆμα τοῦ Προφήτου,
»εἰς ὃ κατῆλθες μετ' ἐμοῦ εἰς εὐχὴν ἀγομένης;
»Εἶδες θαῦμα παράδοξον πῶς, τῆς νυκτὸς παρούσης
»καὶ φωτὸς μὴ ὑπάρχοντος, φέγγος ἦλθεν ἐξ ὕψους
»καὶ ἀπορρήτως ἔπλησε φωτὸς τὸν ὅλον οἶκον;
»Εἶδες ἄρκτους καὶ λέοντας, λύκους μετὰ προβάτων,
»καὶ ζῴων γένη πάμπολλα ὁμοῦ συμβοσκομένων,
»μὴ βλάπτοντα τὸ ἕτερον τὸ ἕτερον οὐδόλως,
»ἀλλὰ πάντα προσμένοντα μέχρις εὐχῆς καὶ τέλους,
»εἶθ' οὕτως γόνυ κλίναντα εὐθὺς ὑποχωροῦσι;
»Μὴ τούτων θαυμαστότερον εἶδες εἰς Ρωμανίαν;
»Οὐ παρ' ἡμῖν τοῦ Νεεμὰν ὑπάρχει τὸ μανδήλιν,

150 τὸ Νέευμα ὑπάρχει—

141 ἑξ. Τὰ περὶ μουσουλμανικοῦ θαύματος τοῦ ἐξ ὕψους φωτὸς εἶναι, ὡς εἰκάζω, συγκεχυμέναι καὶ ἀσαφεῖς εἰδήσεις προερχόμεναι ἐκ παρανοήσεως καὶ κατ' ἀναλογίαν τοῦ 'Αγίου Φωτὸς τῆς 'Ιερουσαλὴμ κατὰ τὸ ἅγιον καὶ μέγα Σάββατον. Τοῦτο ἐπιβεβαιοῦται καὶ ἐκ τοῦ στίχου Κγ 179 «καὶ ταφέντα ἐν μνήμασι, ὃ καὶ αὐτὴ θαυμάζεις», ἔνθα πρόκειται περὶ τοῦ τάφου τοῦ Χριστοῦ.

150. Περὶ Νεεμὰν στρατηγοῦ τοῦ βασιλέως τῆς Συρίας καὶ πάσχοντος ἐκ λέπρας, θεραπευθέντος δὲ ὑπὸ τοῦ 'Ελισσαιὲ διὰ λουτρῶν εἰς τὸν 'Ιορδάνην, γίνεται λόγος ἐν Παλαιᾷ Διαθήκῃ (Βασιλέων Β', κεφ. ε'). 'Εκ τῆς ἱστορίας ταύτης ἐπήγασεν ἀνάλογος παράδοσις περὶ τοῦ Αὐγάρου, καθ' ἣν ὁ τελευταῖος οὗτος πάσχων ἐκ λέπρας ἀπηυθύνθη εἰς τὸν Χριστόν, ὅστις καὶ τὸν ἐθεράπευσε διὰ τῆς ἀχειροποιήτου εἰκόνος τοῦ 'Αγίου Μανδηλίου. Τὸ Ἅγιον Μανδήλιον ἀπέκειτο εἰς τὴν 'Οσροηνὴν Ἔδεσσαν μέχρι τοῦ ἔτους 944, ὁπότε, μετὰ τὰς νίκας τοῦ 'Ιωάννου Κουρκούα παρεχωρήθη εἰς τοὺς Ἕλληνας καὶ μετεφέρθη εἰς Κωνσταντινούπολιν. Τὸ Ἔπος ὅμως ἀγνοεῖ τὴν μεταφοράν, ἑπομένως ἡ σύνταξίς του ἐγένετο πρὸ τοῦ 944. 'Η ἐν τῷ παρόντι χωρίῳ εἴδησις εἶναι πολυτιμοτάτη διὰ τὴν χρονολόγησιν τοῦ ἀρχικοῦ 'Ακριτ. ἔπους, καθόσον ἀποτελεῖ terminus ante quem, ἤτοι ἔνδειξιν ὅτι τὸ ἀρχικὸν κείμενον τοῦ Ἔπους συνετάγη πρὸ τοῦ ἔτους 944. Βλέπε σχετικῶς ἐν εἰσαγωγικῷ ὑπομνήματι

»ὃς βασιλεὺς ἐγένετο μετὰ τῶν 'Ασσυρίων,
»καί, διὰ πλῆθος ἀρετῶν, θαυμάτων ἠξιώθη;
[§ 141] »Πῶς τούτων πάντων, τέκνον μου, γέγονας (παραβάτης,
»ἀρχῆς δὲ κατεφρόνησας καὶ τῆς μεγίστης δόξης;
[§ 142] »Οἱ πάντες σὲ ἐφρόντιζον τῆς Αἰγύπτου κρατῆσαι,
»σὺ δὲ τύχης τῆς ἑαυτοῦ ἐμποδιστὴς ἐγένου,
»διὰ μίαν Ρωμαΐσσαν τὰ πάντα ἀπολέσας». 17α
Ἔτι δὲ λέγειν θέλουσα καὶ ἕτερα τοιαῦτα.
'Εκκόψας ὁ νεώτερας τῇ μητρὶ οὕτως λέγει.
[§ 148] «Τούτων πάντων, ὦ μῆτερ μου, καθέστηκα ἐν (γνώσει·
»μήπω φωτός τε μετασχών, ὡς ἀληθῶς ἐτίμων
»τὰ σκότους ὄντως ἄξια καὶ πάσης ἀπωλείας.
[§ 149] »'Ηνίκα δὲ ηὐδόκησε Θεὸς ὁ ἐν ὑψίστοις
»ὁ δι' ἐμὲ ἑκούσιον πτωχείαν ὑπομείνας,
»καὶ τὴν ἐμὴν ἀσθένειαν βουληθεὶς τοῦ φορέσαι,
»ἀφαρπάσαι τοῦ φάρυγγος τοῦ νοητοῦ θηρίου,
»καὶ τοῦ λουτροῦ ἠξίωσε τῆς παλιγγενεσίας,
»ταῦτα πάντα κατήργησα λήρους ὄντα καὶ μύθους
»καὶ πρόξενα ὑπάρχοντα πυρὸς τοῦ αἰωνίου·
»οἱ γὰρ σεβόμενοι αὐτὰ πάντοτε τιμωροῦνται.
[§ 150] »'Ο δὲ πιστεύων εἰς Θεὸν πατέρα τῶν ἁπάντων,
»ποιητὴν οὐρανοῦ καὶ γῆς καὶ ἀοράτων πάντων,
»καὶ εἰς Χριστὸν τὸν Κύριον, Υἱὸν Θεοῦ καὶ Λόγον,
»τὸν γεννηθέντα ἐκ πατρὸς πρὸ πάντων τῶν αἰώνων,
»φῶς ἐκ φωτὸς ὑπάρχοντα, Θεὸν ἀληθῆ, μέγαν,
»τὸν κατελθόντα ἐπὶ γῆς δι' ἡμᾶς τοὺς ἀνθρώπους,
»καὶ γεννηθέντα ἐκ μητρὸς Μαρίας τῆς παρθένου,
»τὸν ὑπομείναντα σταυρὸν δι' ἡμῶν σωτηρίαν,
»καὶ ταφέντα ἐν μνήματι, ὃ καὶ αὐτὴ θαυμάζεις,
»καὶ ἀναστάντα ἐκ νεκρῶν ἐν τῇ τρίτῃ ἡμέρᾳ,
»καθὼς ἡμᾶς διδάσκουσιν αἱ γραφαὶ αἱ ἅγιαι,
»τὸν ἀεὶ καθεζόμενον τοῦ Πατρὸς δεξιόθεν,
»οὗ βασιλείας τῆς αὐτοῦ οὐκ ἔσται ποτὲ τέλος.

παρόντος τόμου, σελ. ζ' καὶ ὑποσημ. 14. Βλέπε ὡσαύτως καὶ Χρονολ. πίνακα ἐν α' τόμῳ, σελ. νδ', ἔτους 944, καὶ σελ. νε', ἔτος 1032. Περὶ 'Αγίου Μανδηλίου βλέπε Καρολ. σελ. 228—241, Παπαρρηγ. 'Ιστορ. Δα', σελ. 84—85 (ὑποσημ.), Ψευδ. σελ. 292—293 καὶ σελ. 367, Grégoire ἐν Byzantion VI 486, 487, 490 καὶ 507 ὑποσημ., Κυριακίδου ἐν Λαογραφίας Ι', σελ. 624. Βλέπε ὡσαύτως τὰ ἐγκυκλοπ. ἄρθρα, περὶ ὧν γίνεται μνεία ἐν Βιβλιογραφίᾳ α' τόμου παρόντος ἔργου, σελ. μθ', τίτλ. 1, ἐν λέξει Ἄβγαρος: 'Α. 'Αδαμαντίου ἐν Μεγ. 'Ελλ. 'Εγκυκλ. τόμ. α' σελ. 33 ἑξ., 'Ελευθ. 'Εγκυκλ. Λεξ., ἐν Alf. Rambaud, L' Empire Grec au Xe siècle, σελ. 107 ἑξ., ὡς καὶ ἐν Τ (Sath-Legr.) σελ. CXXVI - CXXVII.

[§ 151] »Καὶ εἰς Πνεῦμα τὸ ἅγιον ζωοποιοῦν τὰ πάντα, 17β
»ὃ προσκυνῶ σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ Λόγῳ·
»ἓν βάπτισμα ὁμολογῶν εἰς ἄφεσιν πταισμάτων,
»καὶ προσδοκῶ ἀνάστασιν πάντων τῶν τεθνεώτων,
»ἑκάστου ἀνταπόδοσιν καὶ τῶν πλημμελημένων,
»τῶν δὲ δικαίων ἄφεσιν, καθώσπερ ἀπηγγέλθη,
»ζωὴν τὴν ἀτελεύτητον τοῦ μέλλοντος αἰῶνος.
»Πᾶς ὁ πιστεύων ἐν αὐτῇ τῇ Ἁγίᾳ Τριάδι,
»καὶ βαπτισθεὶς εἰς ὄνομα τοῦ Πατρὸς τοῦ ἀνάρχου,
»καὶ τοῦ Υἱοῦ τοῦ ἐξ αὐτοῦ ἀχρόνως γεννηθέντος
»καὶ τοῦ Ἁγίου Πνεύματος τοῦ ζωοῦντος τὰ πάντα,
»οὐκ ἀπόλλυται πώποτε, ἀλλὰ ζῇ εἰς αἰῶνας.
[§ 152] »Ὁ δὲ μὴ ταῦτα ἐγνωκώς, ὦ γλυκυτάτη μῆτερ,
»εἰς τὴν γέενναν τοῦ πυρὸς ἐσαεὶ τιμωρεῖται·
»κλαυθμὸς πολὺς ἐκεῖ ἐστι καὶ βρυγμὸς τῶν ὀδόντων».
[§ 153-154] Ταῦτα εἰπὼν ὁ Ἀμηρᾶς καὶ ὁδὸν ὑπανοίξας
τῆς ἀμωμήτου πίστεως τῇ μητρὶ οὕτως λέγει·
«Ἐγώ, μῆτερ ἀπέρχομαι πάλιν εἰς Ρωμανίαν,
»τὴν πίστιν ἐπιβεβαιῶν τῆς Ἁγίας Τριάδος,
»οὐ γὰρ ἀντάξιός ἐστι μιᾶς ψυχῆς ὁ κόσμος·
»εἰ γὰρ πάντα κερδήσωμεν, ψυχὴν ζημιωθῶμεν,
»πάντως οὐδὲν τὸ ὄφελος ἐν ἐκείνῃ τῇ ὥρᾳ,
»ὅταν Θεὸς ἐξ οὐρανοῦ ἔλθῃ κρῖναι τὸν κόσμον,
»καὶ παραστήσῃ ἅπαντας ἀποδώσαντας λόγον·
»ὅταν φωνῆς ἀκούσωμεν πορευθῆναι λεγούσης
»εἰς τὸ πῦρ τὸ ἐξώτερον τὸ κεκατηραμένον,
»εἰς αἰῶνα ἐσόμενοι μετὰ τοῦ διαβόλου, 18α
»ὡς προσταγμάτων τῶν αὐτοῦ ἀπειθεῖς γεγονότες.
[§ 155] »Οἱ δέ γε ἐν Χριστῷ πιστεύοντες, ὡς θέμις,
»καὶ ἐντολὰς τηρήσαντες αὐτοῦ τὰς σεβασμίας,
»ὡς ἥλιος ἐκλάμψουσιν ἐν ἐκείνῃ τῇ ὥρᾳ
»καὶ τῆς φωνῆς ἀκούσωσι τοῦ ἀγαθοῦ δεσπότου·
«Δεῦτε κληρονομήσατε, Πατρὸς εὐλογημένοι,
»ἣν ὑμῖν προητοίμασα οὐρανῶν βασιλείαν».
»Καὶ οὗτοι μὲν πορεύσονται εἰς ζωὴν αἰωνίαν·
»κριτὴς γὰρ δίκαιός ἐστιν ἀξίως ἀποδίδων.
[§ 156] »Καὶ εἴπερ βούλει, μῆτερ μου, ζωῆς ἀξιωθῆναι,
»λυτρωθῆναι τε τοῦ πυρὸς καὶ σκότους αἰωνίου,
»πλάνης ματαίας ἔκφυγε καὶ πεπλασμένων μύθων,
»καὶ τὸν Θεὸν ἐπίγνωθι τὸν ἐν τρισὶ προσώποις,

200. Πρβλ. διαφορὰς ἀντιστοιχ. χωρίου ἐν Α 1133 ἑξ.

»ἀσυγχύτως ἑνούμενον ἐν μιᾷ ὑποστάσει
»πείσθητι δὲ τῷ σῷ υἱῷ καὶ ἐλθὲ μετ' ἐμέναν,
»πατὴρ δέ σου γενήσομαι ἐν Πνεύματι Ἁγίῳ,
»καὶ βαπτισθεῖσαν δέξομαι ἐν τῇ ἀναγεννήσει».
[§ 157] Τοιαῦτα μὲν ὁ Ἀμηρᾶς, τῆς δὲ μητρὸς ὁποῖα·
οὐ παρῃτήσατο παιδὸς συμβουλὴν τὴν καλλίστην,
ἀλλ' ὥσπερ γῆ τις ἀγαθὴ δεξαμένη τὸν σπόρον,
εὐθὺς προσήγαγε καρπόν, φθεγξαμένη τοιαῦτα·
«Πιστεύω, τέκνον, διὰ σοῦ Θεῷ τῷ ἐν Τριάδι,
»καὶ μετὰ σοῦ πορεύσομαι καλῶς εἰς Ρωμανίαν
»βαπτισθεῖσα εἰς ἄφεσιν τῶν πολλῶν μου σφαλμάτων,
»χάριν ὁμολογοῦσα τε διὰ σοῦ φωτισθῆναι». 18β
[§ 158] Ὡσαύτως καὶ οἱ συγγενεῖς οἱ ἐκεῖσε τυχόντες
καὶ οἱ λοιποὶ οἱ μετ' αὐτῆς ἐλθόντες πολὺ πλῆθος
μίαν φωνὴν ἀνέκραξαν Χριστὸν ὁμολογοῦντες·
«Μεθ' ὑμῶν γὰρ ἐρχόμεθα πάντες εἰς Ρωμανίαν,
»καὶ βαπτισθέντες τύχοιμεν ζωῆς τῆς αἰωνίου!»
[§ 159] Καὶ θαυμάσας ὁ Ἀμηρᾶς τὴν τούτων προθυμίαν·
«Δόξα σοι, ἔφη, τῷ Θεῷ τῷ μόνῳ φιλανθρώπῳ,
»τῷ μὴ θέλοντι θάνατον ἁμαρτωλοῦ μηδόλως,
»ἀλλ' ἀναμένων τὴν εἰς σὲ ἐπιστροφὴν οἰκτίρμων,
»ὡς ἂν ποιήσῃς κοινωνοὺς πάντας σῆς βασιλείας».
[§ 160] Εἶτα πλοῦτον τὸν ἄπειρον μεθ' ἑαυτῶν λαβόντες,
ὁμοῦ πάντες ἐξήλθασι πρὸς τὰ τῆς Ρωμανίας.
[§ 162] Ὅτε δὲ καὶ κατέλαβον Καππαδοκίας μέρη,
βουλεύεται ὁ Ἀμηρᾶς τοὺς ἑαυτοῦ ἀγούρους·
«Ἔννοιά τις εἰσῆλθέ μοι, ὦ καλοὶ στρατιῶται,
»τοῦ προλαβεῖν με ἑαυτὸν καὶ συγχαρίκια δοῦναι·
»εἰ γὰρ προλάβῃ ἕτερος, πάντως κατηγοροῦμαι
»ὡς ὀκνηρὸς καὶ ῥᾴθυμος παρὰ τῆς ποθητῆς μου».
Οἱ δὲ ἀνταπεκρίθησαν καλὸν τοῦτο ποιῆσαι,
ἄξιον γὰρ ἐρωτικὴν ἐκπληρῶσαι ἀγάπην.
[§ 163] Ἐκεῖνος δὲ τὸ βούλευμα καλῶς ἐπινοήσας,
ἤμειψε τὴν στολὴν εὐθύς, περιβαλὼν ρωμαίαν,
θαυμαστὸν ἐπιλούρικον, χρυσὸν ρεραντισμένον,


224 ἐν μίᾳ ὑποστάσει—

236 ἑξ. Περὶ τῆς ὁμαδικῆς προσελεύσεως εἰς τὸν Χριστιανισμὸν τῆς φυλῆς τοῦ Ἀμηρᾶ βλέπε ἀντιστοιχ. χωρίον ἐν Α 1175 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.
246 ἑξ. Πρβλ. διαφορὰς ἐν Α 1182 ἑξ. περὶ λεηλασίας τῆς Βαγδάτης κλπ. ἀπιθάνους εἰδήσεις. Βλέπε σχετικῶς καὶ ὑποσημ. Α 1185.

ὀξέον λευκοτρίβλαττον, γρύψους ὡραϊσμένους,
φακεόλιν χρυσόγραμμον, πολυτίμητον, ἄσπρον· 19α
μοῦλαν ἐκαβαλλίκευσε βάδεαν, ἀστεράτην·
καὶ τρεῖς λαβὼν μεθ' ἑαυτοῦ τῶν ἰδίων ἀγούρων,
καί, τὸ τοῦ λόγου, πετασθεὶς ἔφθασεν εἰς τὸν οἶκον.
[§ 164] Καὶ ἔβαλεν εὐθὺς φωνὴν χαρᾶς ἐμπεπλησμένην·
«Περιστερά μου πάντερπνε, δέξαι τὸ σὸν γεράκιν,
»καὶ παραμύθησον αὐτὸ ἀπὸ τῆς ξενιτείας!»
Καὶ διὰ ταύτην τὴν φωνὴν αἱ βάγιαι παρακύπτουν,
καί, ὡς τοῦτον ἐσκέψαντο, τὴν κυρὰν οὕτω λέγουν·
«Χαίροις, χαίροις, αὐθέντρια, ὁ αὐθέντης μας ἦλθεν».
Ἐκείνη δὲ ὡς ἄπιστον ἐλογίζετο τοῦτο,
ὁ γὰρ τυχὼν αἰφνίδιον τοῦ ἐπιθυμουμένου
ὄναρ δοκεῖ φαντάζεσθαι ἀπὸ περιχαρίας,
καὶ πρὸς τὰς βάγιας ἔλεγε· «φαντάσματα ὁρᾶτε;»
Ἔτι δὲ λέγειν θέλουσα καὶ πλείονα τοιαῦτα.
[§ 165] Ὡς εἶδε τὸν νεώτερον ἐξαίφνης ἀνελθόντα,
λίαν ὠλιγοψύχησεν εἰς ἔκπληξιν ἐλθοῦσα,
καὶ χεῖρας περιπλέξασα τὰς αὐτῆς τῷ τραχήλῳ
ἀπεκρεμάσθη ἄφωνος, δάκρυα μὴ κινοῦσα.
Ὡσαύτως καὶ ὁ Ἀμηρᾶς γέγονεν ὥσπερ ἔνθους,
καὶ τὴν κόρην περιλαβὼν καὶ βαλὼν εἰς τὸ στῆθος,
συμπεπλεγμένοι ἔμειναν ἐπὶ πολλὰς τὰς ὥρας.
[§ 166] Καί, εἰ μὴ ἡ στρατήγισσα ἔβρεχε τούτους ὕδωρ,
εἰς γῆν ἂν ἔπεσον εὐθὺς ἀπ' ὀλιγοθυμίας.
Ἀγάπη γὰρ ὑπέρμετρος γεννᾷ πολλὰ τοιαῦτα
καὶ χαρὰ ὑπερβάλλουσα εἰς θάνατον ἀπάγει,
ὡς καὶ αὐτοὶ παρὰ μικρὸν ἔμελλον ὑποστῆναι, 19β
μόλις δὲ ἠδυνήθησαν αὐτοὺς ἀποχωρῖσαι.
[§ 168] Ἐφίλει γὰρ ὁ Ἀμηρᾶς τοὺς ὀφθαλμοὺς τῆς κόρης,
περιεπλέκετο αὐτήν, μεθ' ἡδονῆς ἠρώτα·
«Πῶς ἔχεις, φῶς μου τὸ γλυκύ, πάντερπνόν μου δαμάλιν;
»πῶς ἔχεις, φίλτατε ψυχή, ἐμὴ παραμυθία,
»περιστερά μου πάντερπνε, πανώραιόν μου δένδρον,
»μετὰ τοῦ σοῦ ἀνθήματος, τέκνου τοῦ παμποθήτου;»


259. ὀξέον λευκοτρίβλαττον=ἔνδυμα ἐκ βλαττίου χρώματος ἰώδους (ὀξέον). Τὸ ἰῶδες χρῶμα ἦτο διακριτικὸν τῶν ἀρχόντων. Περὶ λευκοτριβλάττων βλέπε ἐν Α 2263 (1399) παραλλαγὴν Τ. Γρῦψοι ἢ γρῦπες ἦσαν χρυσοκέντητα πτηνὰ κοσμοῦντα τὰ φορέματα τῶν μεγιστάνων. Βλέπε σχετικῶς Μαυροφρ. σελ. 466. Πρβλ. ἀντίστοιχον χωρίον ἐν Α 1211 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.


Ἄποψις τοῦ κάστρου τῆς Ὀσροηνῆς Ἐδέσσης. (Ρουχᾶ - Urfa)


Ἐρζερούμ. Γενικὴ ἄποψις.



Προκόπιον: Αἱ πυραμίδες τοῦ Οὐργκιοὺπ τῆς Καππαδοκίας.



Κων/πολις. Ἡ πύλη τοῦ κανονιοῦ (Τὸπ—Καπού).

Ἡ κόρη δ' ἀνανέουσα τὸν ἔρωτα ἐκ πόθου,
τοιαῦτα πρὸς τὸν Ἀμηρᾶν ἐφθέγγετο γλυκέως·
«Καλῶς ἦλθες, ἐλπὶς ἐμή, ἀναψυχὴ τοῦ βίου,
»μεγίστη μου ἀντίληψις, ψυχῆς μου θυμηδία,
»τὰ γὰρ ἡμέτερα καλῶς τῇ τοῦ Θεοῦ δυνάμει,
»τοῦ ἡμᾶς ἀξιώσαντος θεάσασθαι ἀλλήλους·
»εἰπὲ καὶ σύ, αὐθέντα μου, τὰ περὶ σοῦ πῶς ἔχουν;»
«Πάντα καλῶς, ἀντέφησε, χάριτι τοῦ Χριστοῦ μου,
»τοῦ καρδίας φωτίσαντος μητρὸς καὶ συγγενῶν μου
»καὶ ὁδηγήσαντος αὐτοὺς πρὸς φῶς θεογνωσίας,
»οὓς μετ' ὀλίγον ὄψεσθε ἐρχομένους ἐνταῦθα».
[§ 170] Εἶτα καὶ τέκνον τὸ αὐτοῦ λαβὼν εἰς τὰς ἀγκάλας,
τοιαῦτα ἀπεφθέγγετο ἐκ βάθους τῆς καρδίας·
[✱] «Πότε, γεράκιν μου καλόν, τὰς πτέρυγας ἁπλώσεις,
»καὶ κυνηγήσεις πέρδικα, λῃστάδας ὑποτάξεις;»
Καὶ ταῦτα μὲν ὁ Ἀμηρᾶς τὸ παιδίον ἐλάλει.
Ἔλευσιν δὲ τὴν ἑαυτοῦ πάντες ἀναμαθόντες,
εἰς τοὺς οἴκους ἀπέτρεχον εἰπεῖν τὰ συγχαρίκια·
καὶ γέγονε πολλὴ χαρά, ἀμήχανον τὸ λέγειν, 20α
καὶ χοροὺς συστησάμενοι χορείας ἐποιοῦντο.
Ἐν τῇ χαρᾷ πάλιν χαρὰ ἐπέρχεται ἑτέρα,
ἦλθε γάρ τις τὴν τῆς μητρὸς ἄφιξιν ἐπαγγέλλων,
καὶ ἦν ἰδεῖν πάντας ὁμοῦ, ἄνδρας τε καὶ γυναῖκας,
ἐξελθόντας εἰς ἀπαντὴν μετὰ τῆς στρατηγίσσης,
ὥστε μὴ σῴζειν εὐχερῶς τούτους ἀπαριθμῆσαι.
Ὄντως θαῦμα παράδοξον ἔργον ὀρθῆς ἀγάπης·
τίς τοῦτο μὴ καταπλαγῇ; τίς μὴ θαυμάσῃ μᾶλλον,
καὶ καταμάθῃ ἀκριβῶς ἔρωτος τὰς δυνάμεις,
πῶς ἀλλοφύλους ἥνωσεν, εἰς μίαν φέρων πίστιν;
Καὶ πλησίον γενόμενοι ἐπέζευον εὐθέως
καταμανθάνοντες αὐτούς, ἀκριβῶς ἐρωτῶντες,
ἡ νύμφη μὲν τὴν πενθερὰν καὶ τοὺς λοιποὺς ἰδίους,
ἡ δὲ τοὺς συγγενεῖς αὐτῆς χαίρουσα κατεφίλει·
αἱ φάραι χρεμετίζουσαι ἔχαιρον σὺν ἀλλήλαις,
καὶ χαρὰ πᾶσι γέγονε μείζω τῆς προλαβούσης.

294 Ἡ κόρη δ' ἀνανεοῦσα—315 ἦλθε γάρ τις τῆς μητρὸς—327 αἱ φάραι σχηματίζουσαι ἔχαιρον—

294. ἀνανέουσα, ἐκ τοῦ ἀνανέω=ἀναδύομαι, συνέρχομαι, συνώνυμον τοῦ ἀνανεύω=δίδω ἐκ νέου σημεῖα ζωῆς. Πρβλ. διαφορὰς ἐν Α 1255 ἑξ.
305 ἑξ. Πρβλ. ἀντίστοιχον χωρίον ἐν Α 1268 ἑξ. καὶ διαφορὰς αὐτόθι.

[§ 171*] Εἰς δὲ τὸν οἶκον φθάσαντες, γάμους εὐθὺς ποιοῦσι·
καὶ τὴν μητέρα τὴν αὐτοῦ ὁ Ἀμηρᾶς βαπτίσας,
αὐτὸς ταύτην ἐδέξατο ἐν τῇ ἀναγεννήσει,
ὡσαύτως καὶ τοὺς συγγενεῖς τοὺς σὺν αὐτῷ ἐλθόντας,
καὶ πατὴρ πάντων γέγονεν ἐν Πνεύματι Ἁγίῳ.
Ἡ χαρὰ δὲ ἐπηύξανεν ἡ πάνδημος ἐκείνη·
ἔχαιρε γὰρ ἐπὶ μητρὶ υἱὸς τῇ πιστευσάσῃ,
ἡ δὲ μήτηρ εὐφραίνετο ἐπὶ υἱῷ φιλτάτῳ.
Μέρος δέ τι ὁ Ἀμηρᾶς τοῦ οἴκου ἀφορίσας,
συγγενεῦσιν ἀπένειμεν ἐνδιαίτημα ἔχειν. 20β
Τὸ δὲ παιδίον ηὔξανεν ὁ Διγενὴς Ἀκρίτης,
χάρισμα ἔχων ἐκ Θεοῦ παράδοξον ἀνδρείας,
ὥστε πάντας ἐκπλήττεσθαι τοὺς αὐτὸν καθορῶντας,
καὶ θαυμάζειν τὴν σύνεσιν καὶ τὴν γενναίαν τόλμην,
φήμη δὲ ἦν περὶ αὐτοῦ εἰς ἅπαντα τὸν κόσμον.

329 ἑξ. Πρβλ. ἀντιστοιχ. χωρίον ἐν Α 1274 ἑξ. καὶ διαφορὰς αὐτόθι. Βλέπε σχετικῶς καὶ ταυτάριθμ. ὑποσημ.

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ

[§ 172-173] Ἀνδραγαθίαι ἄρχονται ἐντεῦθεν τοῦ Ἀκρίτου,
καὶ πῶς τὴν κόρην ἥρπαξε τὴν πάγκαλον ἐκείνην
καὶ περὶ γάμου τοῦ αὐτοῦ λόγος τέταρτος ἔστιν.
[§ 174] Καὶ αὖθις περὶ ἔρωτος ὑμᾶς ἀναμιμνήσκω·
ῥίζα γὰρ οὗτος καὶ ἀρχὴ καθέστηκεν ἀγάπης,
ἐξ ἧς φιλία τίκτεται, εἶτα γεννᾶται πόθος,
ὃς αὐξηθεὶς κατὰ μικρὸν φέρει καρπὸν τοιοῦτον·
μερίμνας μὲν διηνεκεῖς, ἐννοίας καὶ φροντίδας,
εὐθὺς κινδύνους παμπληθεῖς καὶ χωρισμὸν γονέων.
Νεότης γὰρ ἀκμάζουσα καρδίας ἀνασπάει,
εἶτα πάντα κατατολμᾷ τῶν ἀνεπιχειρήτων·
θαλάττης μὲν ἐφίκεσθαι, πῦρ μηδόλως πτοεῖσθαι·
δράκοντας δὲ καὶ λέοντας καὶ τὰ λοιπὰ θηρία
οὐδοτιοῦν λογίζεται στερεωθεὶς ὁ πόθος
καὶ τοὺς λῃστὰς τοὺς τολμηροὺς ἀντ' οὐδενὸς ἡγεῖται,
νύκτας ἡμέρας προσδοκᾷ καὶ τὰς κλεισούρας κάμπους,
ἀγρυπνίαν ἀνάπαυσιν, καὶ τὰ μακρὰν πλησίον·
πολλοὶ καὶ πίστιν τὴν αὐτῶν ἀρνοῦνται διὰ πόθον.
[§ 175] Καὶ τοῦτο μηδεὶς ἄπιστον ἐξ ὑμῶν λογισθήτω, 21α
μάρτυρα γὰρ ἐπαινετὸν εἰς μέσον παραστήσω
Ἀμηρᾶν τὸν πανεύγενον καὶ πρῶτον τῆς Συρίας,

4 Καὶ εὐθὺς περὶ ἔρωτος . . . ἀναμιμνήκω. (Διώρθωσα κατὰ Α 1302 (770). Βλέπε καὶ ὑποσημ. Κδ 4).—16 προσδοκᾶν—

1. Ὁ τέταρτος λόγος τοῦ κειμένου τῆς παρούσης διασκευῆς εἶναι ὁ μακρότερος καὶ περιλαμβάνει τὰ περιεχόμενα ἀπὸ Α 1286—2427, ἤτοι τὸ κείμενον τὸ ἀντιστοιχοῦν πρὸς τοὺς τέταρτον καὶ πέμπτον λόγους τῶν διασκευῶν Α,Τ καὶ Π. Πρβλ. σχετικῶς εἰς τὰς οἰκείας θέσεις [§ 172-§325].
4 ἑξ. «Καὶ αὖθις περὶ ἔρωτος» κλπ. Ἡ διόρθωσις ἐγένετο, ἀντὶ τοῦ «εὐθὺς», κατὰ τὰ κείμενα Α 1302 (770): «Καὶ πάλιν διὰ ἔρωτα»... «Καὶ αὖθις περὶ ἔρωτος». Οὕτω τὸ κείμενον συμφωνεῖ λογικῶς καὶ πρὸς τὰ προηγούμενα, καθόσον ἐγένετο πράγματι λόγος ἤδη περὶ τοῦ ἔρωτος ἐν τῷ προοιμίῳ τοῦ Κγ 1—15: «Οὕτως δοῦλος πᾶς ὁ ἐρῶν τοῦ ἔρωτος ὑπάρχει» κλπ. Τοῦ τελευταίου τούτου χωρίου μάλιστα δὲν ὑπάρχει τίποτε τὸ ἀντίστοιχον εἰς τὰ κείμενα τῶν ἄλλων διασκευῶν. Τὸ ἐνταῦθα χωρίον ὑποθέτω ὅτι προέρχεται ἐξ ἀπομιμήσεως τῶν Αἰθιοπικῶν τοῦ Ἡλιοδώρου (βιβλ. α', κεφ. 2, ἐδάφ. 9) ἔνθα κεῖται: «...πόθος ἀκριβὴς καὶ ἔρως ἀκραιφνὴς τῶν μὲν ἔξωθεν προσπιπτόντων ἀλγεινῶν τε καὶ ἡδέων πάντων ὑπερφρονεῖ, πρὸς ἓν δὲ τὸ φιλούμενον καὶ ὁρᾶν καὶ συνεύειν τὸ φρόνημα καταναγκάζει». Πρβλ. ἀντίστοιχα χωρία Α 1306, Π 341,13—26 καὶ Ε 702-708.

ὃς εἶχε κάλλη πάντερπνα καὶ τόλμην θηριώδη,
καὶ μέγεθος πανθαύμαστον, ἰσχὺν γενναιοτάτην,
καὶ μᾶλλον δεύτερος Σαμψὼν αὐτὸς ἐπενοήθη·
ἐκεῖνος γὰρ ἠρίστευσε χερσὶ λέοντα σχίσας,
οὗτος δὲ πλῆθος ἄπειρον ἀπέκτεινε λεόντων.
[§ 176] Παύσασθε γράφειν Ὅμηρον καὶ μύθους Ἀχιλλέως
ὡσαύτως καὶ τοῦ Ἕκτορος, ἅπερ εἰσὶ ψευδέα.
Ἀλέξανδρος ὁ Μακεδὼν δυνατὸς ἐν φρονήσει,
Θεόν τε ἔχων συνεργὸν γέγονε κοσμοκράτωρ,
αὐτὸς δὲ φρόνημα στερρὸν ἔχων Θεὸν ἐπέγνω,
ἐκέκτητο καὶ μετ' αὐτοῦ ἀνδρείαν τε καὶ τόλμην.
Φιλοπαππού τοῦ γέροντος, Κιννάμου καὶ Ἰωαννάκη
οὐδόλως ἔστιν ἄξιον τὰ αὐτῶν καταλέγειν,
οὗτοι γὰρ ἐκαυχήσαντο μηδὲν πεποιηκότες,
τούτου δὲ πάντα ἀληθῆ καὶ μεμαρτυρημένα.
[§ 177] Ἄμβρων ὑπῆρχεν ὁ παππούς, θεῖος του ὁ Καρόης·
διαλεκτοὺς τὸν ἔδωκαν τρισχιλίους κονταράτους,
πᾶσαν Συρίαν ὑπέταξεν, ἐπίασε τὸ Κοῦφερ·
εἶθ' οὕτως ἐν τοῖς μέρεσιν ἦλθε τῆς Ρωμανίας.
[§ 178-179] Κάστρα πολλὰ ἐκούρσευσε, χώραν τοῦ ⟨Ἡρακλέος,
Χαρζιανὴν ἐπραίδευσε καὶ τὴν Καππαδοκίαν·
κόρην τερπνὴν ἀφήρπαξεν εὐγενῆ τῶν Δουκάδων,
διὰ κάλλος τὸ θαυμαστὸν καὶ τερπνὴν ἡλικίαν, 21β
τὰ πάντα ἀρνησάμενος πίστιν ὁμοῦ καὶ δόξαν,
καὶ γέγονε χριστιανὸς ὀρθόδοξος διὰ ταύτην
καὶ ὁ ποτὲ πολέμιος δοῦλος ὤφθη Ρωμαίων.
Ἐξ ὧν παιδίον τίκτεται περικαλλὲς τῷ ὄντι,
καὶ ἐξ αὐτῆς γεννήσεως Βασίλειος ἐκλήθη·
λέγεται δὲ καὶ Διγενὴς ὡς ἀπὸ τῶν γονέων,

27 ἑξ. Περὶ τῶν ἐπιδράσεων τοῦ Ὁμηρικοῦ ἔπους καὶ τῶν θρύλων τοῦ βίου τοῦ Ἀλεξάνδρου κατὰ τὴν ψευδοκαλλισθένειον παράδοσιν ἐπὶ τοῦ Ἀκριτικοῦ ἔπους βλέπε ἐν τῇ Γενικῇ εἰσαγωγῇ τοῦ παρόντος ἔργου, τόμ. α', σελ. κ', κα', καὶ κβ'. Ὡς πρὸς τοὺς θρύλους περὶ Φιλοπάππου καὶ τῶν βασιλέων τῆς Κομμαγηνῆς βλέπε ὡσαύτης αὐτόθι σελ. κδ': Τοπογραφικὰ στοιχεῖα καὶ θρῦλοι, ὡς καὶ ὑποσημ. Α 1333 καὶ σχετικὰς αὐτόθι παραπομπάς.

37 ἑξ. Βλέπε σχετικῶς ἐν τοῖς προηγουμένοις Κα 285—296, ὡς καὶ ἀντίστοιχ. τῷ παρόντι χωρίον ἐν Α 1339 ἑξ.

41 ἑξ. Βλέπε ἀντίστοιχ. χωρίον ἐν Α 1345 ἑξ. καὶ ὑποσημ. Α 1346 ἑξ.

43 ἑξ. Βλέπε ἀντίστοιχ. χωρίον ἐν Α 1349 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. Κα 266, ὡς καὶ ὑποσημ. Α 489 ἑξ.

47 Πρβλ. ἀνάλογον στίχ. Κγ. 14 καὶ ἀντίστοιχον τῷ παρόντι Α 1355.

50 ἑξ. Βλέπε ἀντίστοιχ. χωρίον ἐν Α 1361 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ.

ἐθνικὸς μὲν ἀπὸ πατρός, ἐκ δὲ μητρὸς Ρωμαῖος·
φοβερὸς δὲ γενόμενος, ὡς ὁ λόγος δηλώσει,
Ἀκρίτης ὀνομάζεται τὰς ἄκρας ὑποτάξας.
[§ 180] Τούτου πάππος Ἀντάκινος ἀπὸ τῶν Κινναμάδων,
ὃς τέθνηκεν ἐξόριστος προστάξει βασιλέως
Βασιλείου τοῦ εὐτυχοῦς, ἀκρίτου τοῦ μεγάλου·
πολὺς ὢν κλῆρος ἐν αὐτῷ καὶ ἀνείκαστος δόξα
μέγας μὲν ἐφημίζετο στρατηγὸς παρὰ πάντων.
[§ 181] Μάμμη δὲ ἡ στρατήγισσα εὐγενὴς τῶν Δουκάδων·
θείους εἶχε τοὺς θαυμαστοὺς ἀδελφοὺς τῆς μητρός του,
οἳ καὶ ἐμονομάχησαν διὰ τὴν ἀδελφήν των

51 ἐκ δὲ μητρὸς Ρωμαίας·—

53 Περὶ τῶν Ἀκριτῶν βλέπε ἐν τῇ γενικῇ εἰσαγωγῇ τομ. α', σελ. ια'—ιε' ὡς καὶ ἐν ὑποσημ. Α 2305 ἑξ.

54 ἑξ. Ἀναφορικῶς πρὸς τὸ ὄνομα τοῦ ἐκ μητρὸς πάππου τοῦ Διγενοῦς ἡ παράδοσις διχάζεται, καθόσον οὗτος εἰς τὰ κείμενα τῶν διασκευῶν Α,Τ, καὶ Ε φέρεται ὡς Ἀαρὼν — Ἀνδρόνικος, (πρβλ. σχετικῶς Α 22—23, Α 489=Ε 145, Α 1367), ἐνταῦθα δὲ ὡς Ἀντάκινος. Ἀντάκινος ὅμως σημαίνει προφανῶς ὁ ἐξ Ἀντιοχείας καταγόμενος, εἰς δὲ τὸ τουρκικὸν ἔπος τοῦ Σαΐδ Βαττάλ ἀναφέρεται Ἕλλην στρατηγὸς ὑπὸ τὴν ἐπωνυμίαν «Ἀντακὶ—Καφίρ», ἤτοι «ὁ ἐξ Ἀντιοχείας ἄπιστος». Βλέπε σχετικῶς καὶ Καρολ. σελ. 224, ὑποσημ. 2. Δὲν ἀποκλείεται ἑπομένως ὁ ἐξ Ἀντιοχείας στρατηγὸς οὗτος νὰ εἶναι ὁ Ἀνδρόνικος Δούκας, περὶ οὗ ἐγένετο ἤδη λόγος ἐν ὑποσημ. Α 23. Βλέπε σχετικῶς ἐν α' τόμῳ παρόντος ἔργου, σελ. 272 προσθήκας. Περὶ τῆς ἐξορίας τοῦ Ἀντάκινου βλέπε καὶ ἐν τοῖς προηγουμένοις στιχ. Κα 63 ἑξ. καὶ Κα 270 ἑξ.

55—56 ἑξ. Καίτοι ἡ ταυτότης τοῦ ἐνταῦθα μνημονευομένου «βασιλέως Βασιλείου τοῦ εὐτυχοῦς, ἀκρίτου τοῦ μεγάλου» εἶναι ἀμφισβητήσιμος, διότι δὲν ἀποκλείεται νὰ πρόκειται περὶ τοῦ Βασιλείου Βουλγαροκτόνου (βλέπε σχετικὸν χωρίον ἐν βίῳ Νίκωνος τοῦ Μετανοεῖτε, Ν. Ἑλληνομν. Γ', σελ. 177,23—26), ἐν τούτοις δύναται νὰ θεωρηθῇ πιθανώτερον ὅτι πρόκειται περὶ τοῦ Βασιλείου Α' Μακεδόνος. Τοῦτο ἐξάγεται ἐξ ἀναλόγου περαιτέρω χωρίου, ἐν Κδ 973 ἑξ, ἔνθα γίνεται μὲν λόγος περὶ «βασιλέως Βασιλείου τοῦ εὐτυχοῦς», ἀλλ' ὑπάρχουν καὶ ἄλλαι ἐνδείξεις αὐτόθι, ἐξ ὧν δύναται βασίμως νὰ ὑποστηριχθῇ ὅτι πρόκειται περὶ τοῦ Βασιλείου Α' Μακεδόνος. Παρατηρητέον ἐπὶ τούτοις ὅτι εἰς ἀρκετὰ χωρία τοῦ κειμένου τῆς διασκευῆς Κρυπτοφέρρης διαπιστοῦνται σαφῶς ἐπιδράσεις καὶ μιμήσεις ἐκ τῶν βυζαντινῶν χρονογράφων καὶ ἱστορικῶν τῶν ἐκθειαζόντων τὸν Βασίλειον Α' Μακεδόνα, οὕτω δὲ εἰς τὸ κείμενον τοῦτο ὁ Βασίλειος Διγενὴς Ἀκρίτας παρουσιάζεται ὡς μικρογραφία τρόπον τινα τοῦ ἐνδόξου τούτου καὶ μεγάλου αὐτοκράτορος. Βλέπε σχετικῶς ἐν Γενικῇ εἰσαγωγῇ τοῦ παρόντος ἔργου, τόμ. α', σελ. κ' ἐν ἀρχῇ καὶ ὑποσημ. 26 αὐτόθι, σελ. κε' καὶ ὑποσημ. 53 αὐτόθι, πρβλ. καὶ ἐν Κδ 971 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. Ἀντιθέτως εἰς τὰ κείμενα τῶν διασκευῶν Τ,Α,Π, ἀντὶ τοῦ Βασιλείου μνημονεύεται ὁ βασιλεὺς Ρωμανός. Βλέπε σχετικῶς ἐν Α 1368 ἑξ. καὶ Α 2342 ἑξ., ὡς καὶ ταυταρίθμους ὑποσημειώσεις.

59. Βλέπε ἀντίστοιχ. χωρίον ἐν Α 1372 καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι, πρβλ. δὲ καὶ προηγούμ. στίχ. Κα 267 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ.

τὸν Ἀμηρᾶν τὸν θαυμαστὸν τὸν ἑαυτοῦ πατέρα.
[§ 182] Οὗτος ἐβλάστησε φυλῆς ἐξ εὐγενῶν Ρωμαίων,
καὶ γέγονε περίβλεπτος εἰς τὰς ἀνδραγαθίας.
[§ 183] Ἤδη λοιπὸν ἀρξώμεθα τὰ αὐτοῦ καταλέγειν.
[§ 184] Οὗτος τοίνυν ὁ θαυμαστὸς Βασίλειος Ἀκρίτης
παιδόθεν εἰς καθηγητὴν παρὰ πατρὸς ἐδόθη
καὶ τρεῖς ὅλους ἐνιαυτοὺς μαθήμασι σχολάσας,
τῇ τοῦ νοὸς ὀξύτητι πλῆθος ἔσχε γραμμάτων.
[§ 185] Ἐντεῦθεν ἱππηλάσια καὶ κυνηγεῖν ποθήσας,
μετὰ πατρὸς ἐσχόλαζε καθ' ἑκάστην ἐν τούτοις.
[§ 186] Μιᾷ τοίνυν τῶν ἡμερῶν, τὸν πατέρα του λέγει·
«Πόθος, αὐθέντα καὶ πατήρ, ἐσέβη εἰς τὴν ψυχήν μου
»τοῦ δοκιμάσαι ἐμαυτὸν εἰς θηρίων πολέμους·
»καί, εἴπερ ὅλως ἀγαπᾷς Βασίλειον υἱόν σου,
»εἰς τόπον ἂς ἐξέλθωμεν ἔνθα εἰσὶ θηρία,
»καὶ πάντως βλέψεις λογισμὸν ἀεί με ἐνοχλοῦντα».
[§ 187] Λόγους τοιούτους ὁ πατὴρ ἀκούων τοῦ φιλτάτου,
ἠγάλλετο τῷ πνεύματι, ἔχαιρε τῇ καρδίᾳ·
μετὰ πολλῆς τῆς ἡδονῆς τοῦτον ἐκατεφίλει·
«Ὦ τέκνον ποθεινότατον, ὦ ψυχὴ καὶ καρδία,
»θαυμαστοὶ μὲν οἱ λόγοι σου, γλυκεῖα καὶ ἡ γνώμη,
»πλὴν οὐ παρέστηκε καιρὸς τῆς θηριομαχίας·
»θηρίων γὰρ ὁ πόλεμος δεινότατος ὑπάρχει,
»καὶ σὺ παῖς δωδεκάχρονος ἢ βίσεξτος ὑπάρχεις,
»ἀνάξιος παντάπασι πολεμεῖν τὰ θηρία·

86 ἀνάξιον—

66 ἑξ. Τὰ τῆς παιδικῆς ἡλικίας τοῦ Διγενοῦς παρουσιάζουσιν ἀναλογίας πρὸς τὰ τοῦ βίου τοῦ Μ. Ἀλεξάνδρου, ὡς ἐκτίθενται παρὰ Πλουτάρχῳ (Sintenis, ἔκδ. Teubner, τόμ. γ', σελ. 282 ἑξ.), ὡς καὶ εἰς τὸν Ψευδοκαλλισθένην Historia Alexandri Magni (Kroll, ἔκδ. Weidmann Βερολῖνον 1926) I, 13 ἑξ., σελ. 14 ἑξ. καὶ τὰ συναφῆ τούτῳ κείμενα, ἤτοι βίον Ἀλεξάνδρου, ἔκδ. Wagner, στίχ. 574 ἑξ. καὶ Πάλλη Φυλλάδα Μεγ' Ἀλέξαντρου, σελ. 77. Βλέπε σχετικῶς καὶ ἐν Εἰσαγωγῇ α' τόμου, σελ. κ' καὶ κα', ὡς καὶ ἐν Α 1385 καὶ ταυτάριθμ. ὑποσημ. Σχετίζονται ὅμως ὡσαύτως καὶ πρὸς τὰ ἐν Ξενοφ. Κύρου Παιδείας, βιβλ. α', κεφ. 3 ἑξ. ἀναφερόμενα περὶ ἀγωγῆς Κύρου. Βλέπε σχετικῶς ἀμέσως κατωτέρω ὑποσημ. Κδ 72 ἑξ.

72 ἑξ. Τὰ περὶ κυνηγίου προέρχονται ἐξ ἀπομιμήσεως σχετικῶν χωρίων ἐν Ξενοφ. Κύρου Παιδείας, ἔνθα ὁ Κῦρος φέρεται κατορθώσας κατόπιν πολλῶν παρακλήσεων νὰ πείσῃ τὸν πάππον του Ἀστυάγην νὰ τῷ ἐπιτρέψῃ νὰ λάβῃ μέρος εἰς κυνήγιον ἀγρίων θηρίων καὶ ἔνθα οὗτος ἐπέτυχε νὰ φονεύσῃ ἔλαφον καὶ κάπρον. Πρβλ. σχετικῶς Ξενοφ. Κύρου Παιδείας, βιβλ. α', κεφ. 4, παραγρ. 5-8, πρὸς Κδ 124 ἑξ. καὶ Κδ 140 ἑξ.

85 βίσεξτος=συνώνυμ. τοῦ δωδεκάχρονος, ἤτοι ὁ περιλαμβάνων δὶς τὸν ἀριθμὸν ἕξ. Ἐκ τοῦ λατιν. bisextus (bis, sextus=δίς, ἕκτος).

»μή, γλυκύτατον τέκνον μου, τοῦτο εἰς νοῦν ἐμβάλῃς,
»μηδὲ ρόδα σου τὰ καλὰ πρὸ καιροῦ ἐκτρυγήσῃς·
»ὅταν δέ, θέλοντος Θεοῦ, ἀνὴρ τέλειος φθάσῃς,
»τότε λοιπὸν λόγου ἐκτὸς πολεμεῖν τὰ θηρία».
[§ 188] Καὶ ὡς ταῦτα ἀκήκοε, τὸ εὐγενὲς παιδίον,
ἐλυπήθη κατὰ πολύ, ἐτρώθη τὴν καρδίαν,
καὶ δακρύσας τοῖς ὀφθαλμοῖς λέγει πρὸς τὸν πατέρα·
«Εἰ μετὰ τὴν τελείωσιν ἀνδραγαθήσω, πάτερ,
»τί μοι ἐκ τούτου ὄφελος; τοῦτο πάντες ποιοῦσιν· 22β
»ἄρτι ποθῶ δοξάσασθαι καὶ τὸ γένος λαμπρῦναι,
»πληροφορῶ δὲ καὶ ἐσὲ τὸν ἐμὸν εὐεργέτην
»ὅτι δοῦλον θέλεις ἔχειν με ἀνδρειότατον, μέγαν,
»καὶ συνεργὸν καὶ βοηθὸν εἰς πάντας τοὺς πολέμους».
Καὶ κατένευσεν ὁ πατὴρ τῇ προθυμίᾳ τοῦ νέου·
φύσεως γὰρ τὸ εὐγενὲς ἐκ παιδόθεν προφαίνει.
[§ 189] Τῇ δὲ ἐπαύριον λαβὼν τὸν γυναικάδελφόν του
τὸν γεννηθέντα ὕστερον, τὸν χρυσὸν Κωνσταντῖνον,
καὶ τὸν υἱὸν μεθ' ἑαυτοῦ Ἀκρίτην τὸν γενναῖον,
καὶ ἀπὸ τῶν ἀγούρων του τινὰς καβαλλαρίους,
εἰς τὴν ἕλην παρευθὺς ἐξῆλθον εἰς τὰ ἄλση.
[§ 190] Καὶ μακρόθεν ἐσκέψαντο ἄρκτους φοβερωτάτους·
ἄρσεν καὶ θῆλυ ὑπῆρχασιν ἀρκοπούλια δύο.
[§ 191] Βάλλει φωνὴν ὁ θεῖος του· «Βασίλειε, ἄρτι ἂς ἴδω·
»πλὴν τὸ ραβδίν σου ἔπαρον, ξίφος μηδὲν βαστάσῃς·
»ἄρκτους οὐκ ἔνι ἐπαινετὸν πολεμεῖν μετὰ ξίφους».
[§ 192] Καὶ ἦν θαῦμα φρικτὸν ἰδεῖν καὶ ξένον τοῖς ὁρῶσι·
καὶ γὰρ φωνῆς ὡς ἤκουσε τοῦ θείου τὸ παιδίον,

94 ἑξ. Τὸ χωρίον παρουσιάζει ἀναλογίας πρὸς διήγησιν τοῦ Πλουτάρχου, ἔνθα ἀναφέρεται ὅτι ὁσάκις ἔφθανεν εἰς Μακεδονίαν εἴδησις περὶ νέων κατορθωμάτων τοῦ Φιλίππου, ὁ Ἀλέξανδρος ἔλεγε πρὸς τοὺς συνομιλήκους του: «Ὦ παῖδες, πάντα προλήψεται ὁ πατήρ· ἐμοὶ δὲ οὐδὲν ἀπολείψει μεθ' ὑμῶν ἔργον ἀποδείξασθαι μέγα καὶ λαμπρόν». Πρβλ. σχετικῶς Πλουτάρχου Ἀλέξανδρον, V 16-18, ἔκδ. Sintenis Teubner Λειψίας, τόμ. Γ', σελ. 283, καὶ ἀντίστοιχον χωρίον ἐν Α 1401 καὶ ταυτάριθμ. ὑποσημ.

108. Μετὰ τὸν στίχον τοῦτον πρβλ. προσθήκας εἰς τὰ ἀντίστοιχα χωρία τῶν διασκευῶν Α 1415 ἑξ., Ε 758 ἑξ., Π 344,6 ἑξ.

111. Πρβλ. ἀντίστοιχον στίχ. Α 1423 καὶ Π 344, 10 ἑξ.: «Καὶ πιάσε τὸ ραβδί σου μόνον καὶ τὸ σπαθί σου ἄφησέ το. Διότις δὲν εἶναι δυνατὸν ἀρκοῦδα νὰ νικηθῇ μὲ τὸ σπαθίον». Πρβλ. καὶ λεπτομερείας περὶ θήρας τῆς ἄρκτου ἐν Φυσιολόγῳ ἔκδ. Gidel καὶ Σάθα ἐν Annuaire de l' Assoc. des Etudes Grecques en France Παρίσιοι 1873, σελ. 243 ἑξ. Περὶ τῆς ἀρκούδας ἰδίως ἀπὸ στίχ. 359 ἑξ. Περὶ ἄρκτων ἐν Μ. Ἀσίᾳ βλέπε καὶ ὑποσημ. Α 1420.

παραυτίκα ἐπέζευσε καὶ λύει τὸ ζωνάριν,
ἐκδύεται τὸ ὑπολούρικον, ἦτον πολὺς ὁ καύσων,
καὶ τὰς ποδέας ὀχυρῶς πήξας εἰς τὸ ζωνάριν,
καμηλαυκίτζιν χαμηλὸν βαλὼν εἰς τὸ κεφάλιν,
ὡς ἀστραπὴ ἐξεπήδησεν ἀπὸ περιστηθίου,
μηδὲν ἐπιφερόμενος εἰ μὴ λιτὸν ραβδίτζιν,
εἶχε δὲ δύναμιν πολλήν, ἀκολουθοῦν τὸ τάχος· 23α
καὶ πλησίον γενόμενοι ἔνθα ἦσαν οἱ ἄρκτοι,
προϋπαντᾷ τὸ θηλυκὸν φθονοῦν διὰ τὰ παιδία,
καὶ σφόδρα μυκησάμενον πρὸς ἐκεῖνον ἐξῆλθεν.
[§ 193] Ἐκεῖνος ὢν ἀπείραστος εἰς θηριομαχίαν,
οὐκ ἐγυρίσθη ὄπισθεν νὰ τοῦ δώσῃ ραβδέαν,
ἀλλ' ἐπεσέβη σύντομα, ἐκ τὴν μέσην τὸ πιάνει,
καὶ σφίξας τοὺς βραχίονας εὐθὺς ἀπέπνιξέ τον·
καὶ τὰ ἐντὸς ἐξήρχετο ἐκ τοῦ στόματος τούτου.
[§ 194] Ἔφυγε δὲ τὸ ἀρσενικὸν εἰς τὴν ἕλην ἀπέσω·
Ὁ θεῖος του τὸν ἐφώνησε· «Βλέπε, τέκνον, μὴ φύγῃ».
Κακεῖνος ἀπὸ τῆς σπουδῆς ἀφῆκε τὸ ραβδίν του,
καὶ πετάσας ὡς ἀετὸς ἔφθασε τὸ θηρίον·
ἡ ἄρκτος ἐστράφη πρὸς αὐτὸν στόμα χανοῦσα μέγα,
καὶ ὥρμησε τὴν κεφαλὴν τοῦ παιδὸς ἐκλαφῦξαι.
[§ 195] Τὸ δὲ παιδίον σύντομα τὸ μάγουλόν του πιάνει
καὶ τινάξας ἀπέκτεινε χαμαὶ βαλὼν τὸ θηρίον,
στρέψας τὸν τράχηλον αὐτοῦ ἀπεσφονδύλισέ το,
καὶ παρευθὺς ἀπέψυξεν εἰς τὰς χεῖρας τοῦ νέου.
[§ 196-197] Ἐκ δὲ τῶν ἄρκτων τοὺς βρυγμοὺς καὶ τῶν
⟨ποδῶν τοὺς κτύπους,

120 ἀκολουθὸν—125 ὄπισθε—127 σφίγξας—133 ἡ ἄκτος—135 συντόμως τὸ μάγ.—

114. ἐξ. Πρβλ. καὶ ἀντίστοιχ. χωρίον ἐν Α 1425 ἐξ. Ὁ στίχος Κδ 116, ὅστις, σημειωτέον, ἐπαναλαμβάνεται καὶ περαιτέρω, ἐν Κδ 1058, ἐνῷ δὲν ἀπαντᾷ εἰς τὰ κείμενα τῶν ἄλλων διασκευῶν, φέρεται σχεδὸν αὐτούσιος καὶ εἰς τὸ Πτωχοπροδρομικὸν ποίημα ἐν τῇ περιγραφῇ τοῦ λουκουλλείου γεύματος τῶν ἡγουμένων, ἔνθα ὁ λιμώττων καλόγηρος, ἐπικαλεῖται τὸν Ἀκρίτην ὡς τιμωρόν. Βλέπε σχετικῶς Εἰσαγωγὴν εἰς τὸ Ἀκριτ. ἔπος ἐν α' τόμῳ τοῦ παρόντος ἔργου, σελ. ιδ' καὶ ιε' ὡς καὶ ὑποσημ. 9 αὐτόθι. Περὶ καμηλαυκιτζίου ἢ καμηλαυκίου βλέπε ὑποσημ. Α 1427, ὡς καὶ ἐν Κστ 716.

119. Περὶ λιτοῦ ραβδίου βλέπε ὑποσημ. Α 3101.

134. ἐκλαφῦξαι=καταβροχθίζειν. Ἐκ τοῦ λαφύσσω ἐξ οὗ καὶ λαφύκτης, λάφυξις καὶ λάφυρα.

137. ἐξεσφονδύλισέ το=ἔστριψε τὸ καρύδι τῆς ἄρκτου καὶ τὴν ἐστραγγάλισε.

ἔλαφος ἐξεπήδησε μέσον τῆς παγαναίας·
ὁ Ἀμηρᾶς ἐλάλησε· «Δέχου, τέκνον, ἐμπρός σου.»
Καὶ τοῦ πατρὸς ὡς ἤκουσεν, ὥσπερ πάρδος ἐξέβη,
καὶ εἰς ὀλίγα πηδήματα φθάνει τὴν ἐλαφῖναν,
καὶ τῶν ποδῶν δραξάμενος αὐτῆς τῶν ὀπισθίων,
ἀποτινάξας ἔσχισε ταύτην εἰς δύο μέρη.
[§ 198] Τίς μὴ θαυμάσῃ μέγεθος Θεοῦ τῶν
⟨χαρισμάτων, 23β
καὶ τὴν αὐτοῦ ἀσύγκριτον δύναμιν μεγαλύνῃ;
ὄντως ἔργον παράδοξον τὰς ἐννοίας ἐκπλῆττον
πῶς τὴν ἔλαφον ἔφθασε παιδίον χωρὶς ἵππου,
πῶς τοὺς ἄρκτους ἐφόνευσε μηδὲν ἐν χερσὶν ἔχον,
ὄντως Θεοῦ τὸ δώρημα καὶ δεξιᾶς Ὑψίστου.
Ὦ πόδες ὡραιότατοι, ἐφάμιλλοι πτερύγων,
οἱ δορκάδος νικήσαντες τὸ τάχος παραδόξως,
καὶ συντρίψαντες δύναμιν τῶν φοβερῶν θηρίων!
[§ 199-200] Ἅπερ ὁρῶντες οἱ ἐκεῖ τότε παρατυχόντες,
τὸ θαῦμα ἐκπληττόμενοι ἔλεγον πρὸς ἀλλήλους·
«Θεοτόκε, τὸ θέαμα ὃ βλέπομεν εἰς τὸν νέον!
»οὐκ ἔστιν τοῦτος ἄνθρωπος ὥσπερ οἱ ἐκ τοῦ κόσμου·
»ὁ Θεὸς τοῦτον ἀπέστειλε διὰ τοὺς ἀνδρειωμένους,
»νὰ τὸν βλέπουν πῶς χαίρεται, πῶς πολεμεῖ, πῶς τρέχει».
Ὡς δὲ ταῦτα ἐλέγασιν ὁ πατὴρ καὶ οἱ θεῖοι,
λέων ἐξέβη μέγιστος ἀπὸ τοῦ καλαμιῶνος
καὶ εὐθὺς περιεστράφησαν ἰδεῖν τὸν ἀγουρίτζην.
[§ 201] Εἰς ἕλην τον ἐσκέψαντο, σύρνοντα τὰ θηρία,
μὲ τὴν δεξιὰν ἔσυρνε γὰρ οὓς ἐφόνευσεν ἄρκτους,
καὶ μετὰ τὴν ἀριστερὰν σύρει τὴν ἐλαφῖναν.
Ὁ θεῖος του τὸν ἐλάλησεν· ἐλθέ, τέκνον, ἐνθάδε·
καὶ τὰ νεκρὰ κατάλειψον, ἔχομεν ἄλλα ζῶντα,
ἐν οἷς καὶ δοκιμάζονται τῶν εὐγενῶν οἱ παῖδες».
Ὁ παῖς ἀνταπεκρίνατο λέγων αὐτῷ τοιάδε·
«Εἰ θέλημα Θεοῦ ἔστι τοῦ εὐδοκοῦντος πάντα,
»εἰ ἔχω τοῦ πατρὸς εὐχὴν καὶ τῆς καλῆς μητρός μου, 24α
»νεκρὸν θεάσῃ καὶ αὐτὸν ὥσπερ τοὺς δύο ἄρκτους».
[§ 202] Καὶ ὥρμησε ξίφους χωρὶς εἰς τὸν λέοντα ὑπάγειν.
Καὶ λέγει τον ὁ θεῖος του· «ἔπαρον τὸ σπαθίν σου,
»οὗτος οὐκ ἔστιν ἔλαφος ἵνα τὸν σχίσῃς μέσον».
Εὐθὺς δὲ ὁ νεώτερος τοιόνδε λόγον ἔφη·

140. παγαναία. Βλέπε ἀντίστοιχ. χωρίον ἐν Α 1447 καὶ ταυτάριθμ. ὑποσημ.

144 ἐξ. Βλέπε ἀντίστοιχ. χωρίον ἐν Α 1453 ἐξ. καὶ ταυτάριθ. ὑποσημ.

«Ὁ Θεὸς οὐκ ἀδυνατεῖ, θεῖε μου καὶ αὐθέντα,
»παραδοῦναι εἰς χεῖρα μου καθάπερ καὶ ἐκεῖνον».
[§ 203] Καί, τὸ σπαθὶν δραξάμενος, κινᾷ πρὸς τὸ θηρίον·
ὅταν δὲ ἐπλησίασεν, ἀποπηδᾷ ὁ λέων,
καὶ χαρζανίσας τὴν οὐρὰν ἔδερε τὰς πλευράς του,
μεγάλα βρυχησάμενος εἰς τὸν νέον ἐξῆλθε.
Τὸ δὲ παιδίον τὸ σπαθὶν εἰς ὕψος ἀνατείνας
κρούει τον κατὰ κεφαλῆς πλήρης εἰς τὴν μεσίαν,
καὶ διεσχίσθη ἡ κεφαλὴ ἄχρι τῶν ὤμων κάτω.
[§ 204] Καὶ πρὸς τὸν θεῖον του ὁ Διγενὴς τοιόνδε λόγον
«Ὁρᾷς, χρυσὲ αὐθέντα μου, Θεοῦ τὰ μεγαλεῖα· ⟨ἔφη·
»οὐ κεῖται ἄφωνος, νεκρὸς ὥσπερ οἱ δύο ἄρκτοι;»
Καὶ κατεφίλησαν αὐτὸν ὁ πατὴρ καὶ ὁ θεῖος,
χεῖρας τε καὶ βραχίονας, ὀμμάτια καὶ στῆθος,
καὶ ἀμφότεροι χαίροντες εἶπον αὐτῷ τοιάδε·
«Πᾶς ὁ βλέπων τὴν ἔμνοστον ἡλικίαν καὶ κάλλος
»τὸ σόν, ὦ περιπόθητε, ὄντως οὐ μὴ ἀμφιβάλῃ,
»ἀλλὰ βεβαίως δέξεται τὰς σὰς ἀνδραγαθίας».
[§ 205] Εἶχε γὰρ ὁ νεώτερος εὔνοστον ἡλικίαν,
κόμην ξανθήν, ἐπίσγουρον, ὀμμάτια μεγάλα, 24β
πρόσωπον ἄσπρον, ροδινόν, κατάμαυρον ὀφρύδιν,
καὶ στῆθος ὥσπερ κρύσταλλον, ὀργυιὰν εἶχε τὸ πλάτος.
[§ 206] Τοῦτον ὁρῶν ἠγάλλετο ὁ πατὴρ αὐτοῦ λίαν,
καὶ χαίρων ἔλεγεν αὐτῷ μεθ' ἡδονῆς μεγάλης·
ὅτι τὸ καῦμα ἔστι πολύ, ἔνι καὶ μεσημέριν,
καὶ τὰ θηρία κρύβονται ἀπάρτι εἰς τὴν ἕλην·
«Καὶ δεῦρο ἂς ἀπέλθωμεν εἰς τὸ ψυχρὸν τὸ ὕδωρ,
»καὶ νῖψον σου τὸ πρόσωπον ἐκ τῶν πολλῶν ἱδρώτων·
»ἀλλάξεις δὲ καὶ τὰ φορεῖς, εἰσὶ γὰρ μεμιασμένα
»ἐκ τῶν θηρίων τοὺς ἀφροὺς καὶ λέοντος τὸ αἷμα·
»καὶ τρισμακάριστος ἐγὼ ἔχων τοιοῦτον παῖδα,
»πλύνω δὲ καὶ τοὺς πόδας σου μὲ τὰς ἰδίας χεῖρας·
»ἀπάρτι πᾶσαν μέριμναν ρίψω ἐκ τὴν ψυχήν μου,

182. χαρζανίσας τὴν οὐρὰν=ὑψώσας ὁ λέων τὴν οὐραν δίκην χαρζάνου. Χάρζανα ἢ χαρζάνια ἐκάλουν οἱ Βυζαντινοὶ τὰ λωρία καὶ ἐκεῖθεν τὰ μαστίγια. Βλέπε σχετικῶς παρατηρήσεις Καρολίδου ἐν Ἐπετηρ. Βυζ. Σπουδ. Γ' 331. Πρβλ. καὶ Κστ 550 καὶ Ε 509: χαρζανισταί.
199. Πρβλ. διαφορὰς ἐν ἀντιστοίχ. χωρίῳ Α 1511, βλέπε καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι. Ἀνάλογος ἔκφρασις ἀπαντᾷ καὶ παρὰ Ψελλῷ ἐν περιγραφῇ τοῦ αὐτοκράτορος Κωνσταντίνου Θ': «κρυστάλλῳ δὲ τὸ λοιπὸν σῶμα τῷ καθαρωτάτῳ καὶ διαυγεῖ (εἴκασεν)». Πρβλ. Ψελλοῦ ἔκδ. Renauld, β' τόμ. σελ. 31, CXXVII, στίχ. 17-18, οὗ πλήρη τίτλον βλέπε ἐν Βιβλιογραφίᾳ τοῦ παρόντος ἔργου, α' τομ., σελ. μγ', τίτλ. 46.

»νὰ εἶμὶ καὶ ἀφρόντιστος ἔνθα σε ἀποστείλω,
»εἴς τε τὰ κούρση τὰ πολλὰ καὶ πολεμίων βίγλας».
[§ 207] Καὶ παρευθὺς ἀμφότεροι εἰς τὴν πηγὴν ἀπῆλθον,
ἣν δὲ τὸ ὕδωρ θαυμαστόν, ψυχρὸν ὡς τὸ χιόνιν.
[§ 208] Καὶ καθεσθέντες γύρωθεν οἱ μὲν ἔνιπτον χεῖρας,
οἱ δὲ τὸ πρόσωπον αὐτοῦ, ὁμοίως καὶ τοὺς πόδας.
Ἔρρεεν ἔξω τῆς πηγῆς καὶ ἔπινον ἀπλήστως,
ὡς ἂν ἐκ τούτου γένωνται κἀκεῖνοι ἀνδρειωμένοι.
[§ 209] Ἄλλαξε δὲ καὶ τὸ παιδὶν τὴν ἑαυτοῦ ἐσθῆτα,
βάλλει πτενὰ μοχλόβια διὰ τὸ καταψυχῆσαι,
τὸ μὲν ἐπάνω κόκκινον μὲ τὰς χρυσὰς τὰς ρίζας, 25α
αἱ δὲ ρίζαι του χυμευταὶ μετὰ μαργαριτάρων,
τὸν τράχηλόν του γεμιστὸν ἄβαρ ὁμοῦ καὶ μόσχον,
τρανὰ μαργαριτάρια εἶχεν ἀντὶ κομβίων,
τὰ δὲ θηλύκια στρεπτὰ ἐκ καθαροῦ χρυσίου,
τουβία ἐφόρει ἐξάκουστα, γρύψους ὡραϊσμένους,
τὰ πτερνιστήρια πλεκτὰ μετὰ λίθων τιμίων,
ἐπὶ τῶν ἔργων τῶν χρυσῶν εἶχε λυχνίτας λίθους.
[§ 210] Πάμπολλα δὲ ἐσπούδαζε τὸ εὐγενὲς παιδίον
εἰς τὴν μητέρα ἀπελθεῖν μὴ δι' αὐτὸν λυπῆται,
καὶ ἠνάγκαζεν ἅπαντας εἰς τὸ καβαλλικεῦσαι.
Ἵππον ἐμετεσέλλισεν ἄσπρον ὡς περιστέριν,

218 ὡς ἂν ἐκ τοῦ γένωνται—220 βάλλει στενὰ μοχλόβια (Διώρθωσα κατὰ Α 3715. Βλέπε καὶ παραπομπὰς ἐν ὑποσημ. Κδ 240).—223 τὸ τράχηλόν του.

220. μοχλόβια ἢ μαχλάβια, ἢ μαχλάμια, ἤτοι φορέματα ἀνδρικὰ ὁμοιάζοντα πρὸς ποδήρεις χιτῶνας μνημονεύονται καὶ ἀλλαχοῦ τοῦ Ἔπους. Βλέπε σχετικῶς ἐν Α 3715 καὶ ταυτάριθμ. ὑποσημ., ὡς καὶ ἐν Κστ 715. Βλέπε ἐπίσης καὶ ὑποσημ. Α 1534.
222. ρίζαι χυμευταὶ=κροσσοὶ χρυσοποίκιλτοι· βλέπε ὑποσημ. Α 1215.
223. ἄβαρ καὶ μόσχος=ἀρώματα, περὶ ὧν βλέπε ἐν ὑποσημ. Α 1537 καὶ Α 2876 ἑξ.
225. θηλύκια=θηλειαὶ ἢ κομβιοδόχαι.
226. τουβία· ὁ Ἀρέθας ἑρμηνεύει οὕτω τὰς ἀναξυρίδας. Ἡ λέξις τουβίον ἢ τουβὶ ἀπαντᾷ πλειστάκις παρὰ τοῖς βυζ. συγγραφ., σημαίνει δὲ εἶδος πανταλονίου ἀναλόγου πρὸς τὸ σημερινὸν ἀλλὰ στενότερον. Πρβλ. Τριανταφυλλίδου, Studien zu Lehnwörtern der Mitelgr. Vulgarlitteratur σ. 122. Βλέπε σχετικῶς Σ. Κουγέα, Αἱ ἐν τοῖς σχολίοις τοῦ Ἀρέθα λαογρ. εἰδήσεις ἐν Λαογραφίας Δ' 252. Ὑποθέτω ὅτι ἡ λέξις προέρχεται εἴτε ἐκ τοῦ λατ. tubus =σωλήν, ἢ πιθανώτερον ἐκ τοῦ tibialia=εἶδος περικνημίδων. Τὰ τουβία ἦσαν συνεπῶς σκέλη στενοῦ βρακίου. Βλέπε σχετικῶς Δουκάγγ., ὡς καὶ Καλομενοπούλου, Ἡ στρατ. ὀργάνωσις τῆς Ἑλλην. αὐτοκρατ. τοῦ Βυζαντίου Ἀθῆναι 1937, σελ. 181. Πρβλ. ὡσαύτως Ε 1494 καὶ παρατηρήσεις Ξανθούδ. 567—568. Περὶ γρύψων βλέπε Κγ 259.

ὁ σγόρδος του πλεκτὸς ἦτον μετὰ λίθων τιμίων,
καὶ κωδωνίτζια χρυσᾶ μέσον τῶν λιθαρίων·
πάμπολλα κωδωνίτζια, καὶ ἦχος ἐτελεῖτο
ἐνήδονος καὶ θαυμαστός, πάντας ὑπερεκπλήττων.
[§ 211] Πράσινον, ρόδινον βλαττὶν εἶχεν εἰς τὸ καποῦλιν,
καὶ τὴν σέλλαν ἐσκέπαζε νὰ μὴ κονιορτοῦται·
τὸ σελλοχάλινον πλεκτὸν μετὰ χρυσῶν σβερνίδων,
τὰ ὅλα ἔργα χυμευτὰ μετὰ μαργαριτάρων.
Ἦτον ὁ ἵππος τολμηρὸς καὶ θρασὺς εἰς τὸ παίζειν,
τὸ δὲ παιδίον εὔθιον εἰς τὸ καβαλλικεύειν·
Πᾶς ὁ βλέπων ἐθαύμαζε τὸν ἄγουρον ἐκεῖνον,
πῶς μὲν ὁ ἵππος ἔπαιζε κατὰ γνώμην τοῦ νέου,
πῶς δὲ αὐτὸς ἐκάθητο ὥσπερ μῆλον εἰς δένδρον.
[§ 212] Καὶ ὥρμησαν τοῦ ἀπελθεῖν εἰς τὸν ἴδιον οἶκον
οἱ μὲν ἄγουροι ἔμπροσθεν κατὰ τάξιν ὑπάγουν, 25β
ἀπ' αὐτοῦ δὲ ὁ θεῖος του καὶ ὁ πατὴρ ὀπίσω,
καὶ μέσον ὁ νεώτερος, ὡς ἥλιος ἀστράπτων,
κοντάριν ἐμαλάκιζε μετὰ τὴν δεξιάν του
πράσινον, ἀραβίτικον μετὰ χρυσοῦ διβέλλου.
Ὡραῖος ἦν εἰς ὅρασιν, τερπνὸς εἰς συντυχίαν,
μόσχος εἰς τὸ ἀνάβλεμμα ὅλος μεμυρισμένος.
[§ 226] Οἶκος ὑπῆρχε καθ' ὁδὸν στρατηγοῦ τοῦ μεγάλου,
καὶ πλησιάσαντος αὐτοῦ ἀναφώνημα εἶπε·
«Ἄγουρος ὅταν ἀγαπᾷ κόρην ὡραιοτάτην,
»ὅταν ἐκεῖ ἀπέρχεται καὶ βλέπει της τὰ κάλλη,
»δαμάζεται ἡ καρδίτζα του, οὐ θέλει ζῆν εἰς κόσμον».
Τῆς ἡδονῆς ὡς ἤκουσαν τῷ οἴκῳ οἱ παρόντες,
ἐξέστησαν ὥσπερ ποτὲ ὁ Ὀδυσσεὺς ἐκεῖνος

251 πρασινοαραβίτικον

233. σγόρδος ἢ σγοῦρδος=χαίτη. Πρβλ. Ἀχιλλ. 1121, Λύβιστρ. 1887. Βλέπε καὶ ἀντιστοιχ. τῷ παρόντι χωρίον ἐν Α 1546 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.

237 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 1551 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.

251. δίβελλον. Ὑποθέτω ὅτι θὰ ἦτο προτιμητέον νὰ τεθῇ «μετὰ χρυσοῦ διβόλου». Δίβολον καὶ διβολία ἐκαλεῖτο παρ' ἀρχαίοις τὸ ἀκόντιον μὲ διπλῆν αἰχμήν.

253. Πρβλ. ἀντίστοιχον στίχ. ἐν Α 1565, μετὰ τὸν ὁποῖον παρεντίθενται τὰ κατὰ τὴν συνάντησιν τοῦ Διγενοῦς καὶ τοῦ Φιλοπάππου εἰς τὸ ἄντρον μετὰ τῶν ληστῶν καὶ ἡ ὁλοσχερὴς ἧττα αὐτῶν ὑπὸ τοῦ ἥρωός μας. Βλέπε σχετικῶς χωρία Α 1585—1657, ὡς καὶ ὑποσημ. Α 1565 καὶ Α1674.

254 ἑξ. Βλέπε ἀντίστοιχ. χωρίον ἐν Α 1674 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ.

260. ἑξ. Περὶ τῶν ἐπιδράσεων τοῦ Ὁμηρικοῦ ἔπους βλέπε ἐν Γενικῇ εἰσαγωγῇ παρόντος ἔργου τομ. α', σελ. κβ'. Πρβλ. καὶ Κδ 27 ἑξ.

ὅτε τὸ μέλος ἤκουε Σειρήνων ἐν τῷ πλοίῳ.
Ἀλλ' οὐδ' ἡ κόρη ἔμεινεν ἀνήκοος τοῦ νέου,
πάγκαλος ἡ διάφημος, ἡ ἀκουστὴ ἐκείνη,
ἧς τὸ κάλλος ἀμήχανον, παράδοξον τὸ γένος,
οὐσίαν τε, καὶ κτήματα καὶ ἑτέραν πλουσίαν
ἀδύνατον ἀπαριθμεῖν ἢ ἀπεικάζειν ὅλως.
[§ 227] Μόνον γὰρ οἶκον τὸν αὐτῆς οὐδεὶς ἐγκωμιάσει·
ἅπας γὰρ χρυσομάρμαρος, ὅλος μεμουσιωμένος·
τὸ μοναχὸν κουβούκλιον ἔνθα ἦτον ἡ κόρη
ἀπέξωθεν ὁλόχρυσον, ὅλον μεμουσιωμένον,
ὁ καὶ ἐπωνομάζετο τῆς κόρης τὸ κουβούκλιν.
[§ 228] Αὕτη τοίνυν ἡ πάμπλουτος καὶ πανωραία κόρη,
ὡς εἶδε τὸν νεώτερον, καθὼς ἐκδιηγοῦμαι, 26α
ἐφλέχθη ἡ καρδίτζα της, οὐ θέλει ζῆν εἰς κόσμον·
πόνος ἀνήφθη εἰς αὐτήν, ὡς τὸ δίκαιον ἔχει,
οὐ γὰρ κάλλος ὀξύτερον καὶ τοῦ βέλους τιτρώσκει·
καὶ δι' αὐτῶν τῶν ὀφθαλμῶν εἰς ψυχὴν ἐπανήκει·
ἤθελε μὲν τοὺς ὀφθαλμοὺς ἐκ τοῦ νέου ἀπᾶραι,
ἀλλὰ πάλιν οὐκ ἤθελε τοῦ κάλλους χωρισθῆναι,
ἀλλ' εἶλκεν αὐτοὺς ἐκεῖ προδήλως ἡττηθέντας.
[§ 229] Καὶ πρὸς τὴν βάγιαν ἔλεγε γαληνὰ εἰς τὸ ὠτίον·

276 οὐ γὰρ κάλλος ὀξύτατον καὶ τὸ βέλος τιτρώσκει· (Διώρθωσα κατὰ Τατ. βιβλ. α' κεφ. 4. Βλέπε ὑποσημ. Κδ 276 ἑξ.).

269. Κουβούκλιον. Βλέπε σχετικῶς ὑποσημ. Α 792, καὶ Α 1685.

276 ἑξ. Τὸ χωρίον ἐλήφθη ἐξ ἀπομιμήσεως τοῦ Ἀχιλλ. Τατίου: «Ὡς δὲ εἶδον εὐθὺς ἀπωλώλειν· κάλλος γὰρ ὀξύτερον τιτρώσκει βέλους, καὶ διὰ τῶν ὀφθαλμῶν εἰς τὴν ψυχὴν καταρρεῖ... Τοὺς δὲ ὀφθαλμοὺς ἀφέλκειν μὲν ἀπὸ τῆς κόρης ἐβιαζόμην· οἱ δὲ οὐκ ἤθελον, ἀλλ' ἀνθεῖλκον ἑαυτοὺς ἐκεῖ τῷ τοῦ κάλλους ἑλκόμενοι πείσματι, καὶ τέλος ἐνίκησαν» (Τατ. βιβλ. α', κεφ. 4). Πρβλ. ὡσαύτως καὶ ἕτερον ἀνάλογον χωρίον: «Ἡ δὲ τῆς θέας ἡδονὴ διὰ τῶν ὀμμάτων εἰσρέουσα, τοῖς στέρνοις ἐγκάθηται· ἕλκουσα δὲ τοῦ ἐρωμένου τὸ εἴδωλον ἀεί, ἐναπομάσσεται τῷ τῆς ψυχῆς κατόπτρῳ καὶ ἀναπλάττει τὴν μορφήν». (Τατ. Βιβλ. ε', κεφ. ιγ'). Ἀνάλογον χωρίον εὕρηται καὶ παρὰ Μουσαίῳ: «Κάλλος γὰρ περίπυστον ἀμωμήτοιο γυναικός, ὀξύτερον μερόπεσσι πέλει πτερόεντος ὀϊστοῦ. Ὀφθαλμὸς δ' ὁδός ἐστιν δι' ὀφθαλμοῖο βολάων κάλλος ὀλισθαίνει καὶ ἐπὶ φρένας ἀνδρὸς ὁδεύει». (Μουσαίου, Ἡρὼ καὶ Λέανδρος, στίχ. 92-95). Πρβλ. καὶ Εὐσταθ. βιβλ. γ': «Ὀφθαλμὸς ἐν ἔρωσιν ἀνάπτει τὸν ἔρωτα». Βλέπε σχετικῶς ἀντίστοιχα χωρία ἐν Α 1688—1694 (1125-1131), Π 350, 27-32, καθὼς καὶ τὸ δημῶδες ᾆσμα «Πῶς πιάνεται ἡ ἀγάπη» ἐν Πολίτου Ἐκλογαῖς, β' ἐκδ. Ἀθῆναι 1925, σελ 161, στίχ. 2—4, ἐπίσης δὲ καὶ τὰς ὑποσημ. Α 1691 ἑξ. καὶ Α 1693 ἑξ. Ἐν σχέσει πρὸς τὰς ἐπιδράσεις καὶ μιμήσεις τοῦ Ἔπους ἐκ τῶν σοφιστικῶν μυθιστορημάτων καὶ ἰδίως ἐκ τοῦ Ἀχιλλ. Τατίου βλέπε ἐν τῇ Γεν. εἰσαγωγῇ εἰς τὸ Ἀκριτ. ἔπος, α' τόμ. παρόντος ἔργου, σελ. κα' καὶ ὑποσημ. 31 αὐτόθι, ὡς καὶ τὰ περὶ μεταγενεστέρων ᾀσμάτων αὐτόθι, ἐν σελ. λδ' καὶ ὑποσημ. 113 ἐν τέλει.

«Παράκυψε, βαγίτζα μου, ἴδε ἔμνοστον νέον,
»ἴδε κάλλος πανθαύμαστον καὶ ξένην ἡλικίαν·
»ἂν ἤθελεν ὁ κύρις μου γαμβρὸν νὰ τὸν ἐπῆρε,
»νὰ εἶχε, πίστευσον, γαμβρὸν οἷον ἄλλος οὐκ ἔχει».
[§ 230] Ἀπέμεινε δὲ βλέπουσα ἐκ τῆς ὀπῆς τὸν παῖδα·
ὁ δὲ νέος ἠρώτησεν ἀληθῶς μὴ γιγνώσκων·
«Ὁ οἶκος οὗτος τίνος ἔνι ὁ φοβερὸς καὶ μέγας;
»μὴ οὗτος ἔνι τοῦ στρατηγοῦ τοῦ ἀκουστοῦ ὃν λέγουν;
»καὶ ἡ κόρη ἡ πανεύφημος ἐνταῦθα καταμένει»;
[§ 231] «Ναί, τέκνον μου γλυκύτατον, ὁ πατὴρ ἀπεκρίθη,
»δι' ἧς πολλοὶ ἀπώλοντο τῶν εὐγενῶν Ρωμαίων.»
«Καὶ πῶς, πάτερ, ἀπώλοντο;» αὖθις ὁ παῖς ἠρώτα.
«Ἠβουλήθησαν, τέκνον μου, τὴν κόρην ἀφαρπάσαι
»διὰ τὰ κάλλη τὰ τερπνὰ ἅπερ ἔχει, ὡς λέγουν·
»καὶ τούτους γνοὺς ὁ στρατηγός, τῆς κόρης ὁ γεννήτωρ,
»ἐγκρύμματα ἐποίησε καὶ ἐκράτησε πάντας,
»τοὺς μὲν ἀπεκεφάλισεν, τοὺς δὲ τυφλοὺς ἐποίησεν·
»ἔχει γὰρ δύναμιν πολλὴν καὶ δόξαν εἰς τὴν χώραν». 26β
[§ 232] Στενάξας δὲ ὁ Διγενὴς ἔφη πρὸς τὸν πατέρα·
«Εὔχου, πάτερ, μὴ δόξῃ με ἵνα τὴν ἀφαρπάσω,
»ὅτι ἐμὲ ἐγκρύμματα ποτὲ οὐ θορυβοῦσι·
»τοῦτο δὲ μόνον εὔχομαι, εἴπερ ἀποδεκτόν σοι,
»νὰ μηνύσῃς τὸν στρατηγὸν διὰ συμπενθερίαν·
»καὶ εἰ μὲν ἴσως ἀρεσθῇ γαμβρὸν νὰ μὲ ἐπάρῃ,
»ἵνα τὸν ἔχω πενθερὸν τῇ ἰδίᾳ του γνώμῃ·
»εἰ δὲ μή, γνώσῃ, πάτερ μου, μετὰ ταῦτα τὸ τέλος».
[§ 233] «Πολλάκις τὸν ἐμήνυσα, γλυκύτατε υἱέ μου,
»ἀλλ' οὐδὲ ὅλως πείθεται εἰς τοῦτο κατανεῦσαι».
[§ 234] Ὡς δὲ τοιαῦτα ὁ πατὴρ ἔλεγε πρὸς τὸν παῖδα,
ἐσκέφθη ὁ νεώτερος ἐκ τῆς ὀπῆς τὸν κόρην·
καὶ ταύτην θεασάμενος ἐμπρὸς οὐ βηματίζει,
ἀλλ' εἶχεν ἔκπληξις αὐτὸν καὶ τρόμος τὴν καρδίαν·
τὸν βοῦλχαν ἐπελάλησε, πλησιάζει τῇ κόρῃ,
καὶ πρὸς αὐτὴν ἠρέμα τε λόγον εἶπε τοιόνδε·

291 Παρατηρητέον ὅτι ἐνῷ ἐνταῦθα ὁ Διγενὴς συνομιλεῖ μετὰ τοῦ πα-
τρός του, εἰς τὰ ἄλλα κείμενα φέρεται διαλεγόμενος μετὰ τοῦ πατρὸς τῆς
κόρης παρουσιαζομένου incognito, ὅπερ φυσικώτερον. Ὑποπτεύω παρα-
νόησιν ἐνταῦθα. Πρβλ. σχετικῶς ἀντιστοιχ. χωρία ἐν Α 1705 ἑξ., Π
351,7 ἑξ. Ἀξιοσημείωτον ἐπίσης εἶναι ἐν προκειμένῳ καὶ τὸ ὅτι ὁ Διγε-
νὴς φέρεται ἐρωτοτροπῶν παρουσίᾳ τοῦ πατρός του, ἐνῷ κατὰ τὰ ἄλλα κεί-
μενα πρόκειται περὶ νέου κυνηγίου τοῦ Διγενοῦς συνοδευομένου μόνον ὑπὸ
τῶν ἀγούρων τῆς ἡλικίας του. Πρβλ. σχετικῶς Κδ 254 ἑξ. πρὸς Α 1674
ἑξ., βλέπε δὲ καὶ ταυταρίθμους ὑποσημ. ὡς καὶ ὑποσημ. Α 1565.

«Γνώρισόν μοι, κοράσιον, εἰ ἔχεις με εἰς νοῦν σου,
»καὶ εἰ ποθεῖς κατὰ πολὺ τοῦ λαβεῖν σε γυναῖκα·
»εἰ δ' ἀλλαχοῦ τὸν νοῦν ἔχεις, πολλὰ οὐ παρακαλῶ σε».
[§ 235] Τὴν βάγιαν δὲ παρακαλεῖ τὴν ἑαυτῆς ἡ κόρη·
«Κατάβα, βάγια μου καλή, εἰπὲ τὸν ἀγουρίτζην·
»τὸν Θεόν σε πληροφορῶ εἰς τὴν ψυχήν μου ἐσέβης·
»ἀλλ' οὐκ οἶδα, νεώτερε, ποίου γένους τυγχάνεις·
»εἰ μὲν εἶ σὺ Βασίλειος ὁ Διγενὴς Ἀκρίτης,
»ὑπάρχεις μὲν τῶν εὐγενῶν καὶ τῶν πλουσιωτάτων
»καὶ συγγενὴς ἡμέτερος ὡς ἀπὸ τῶν Δουκάδων. 27α
[§ 236] »Ἀλλ' ὁ πατήρ μου ὁ στρατηγὸς διὰ σὲ βίγλας ἔχει,
»ἤκουσε γὰρ κατὰ πολὺ τὰς σὰς ἀνδραγαθίας·
»καὶ φυλάττου, νεώτερε, δι' ἐμοῦ κινδυνεύσῃς
»καὶ στερηθῇς νεότητος τῆς πανωραιοτάτης·
»οὐδόλως γάρ σου φείσεται ὁ ἄσπλαγχνος πατήρ μου».
[§ 237-238] Καὶ αὖθις ὁ νεώτερος πρὸς τὴν κόρην ἀντέφη·
«Παράκυψον, ὀμμάτια μου, ἂς ἴδω σου τὸ κάλλος,
»ἂς ἔμβῃ εἰς τὴν καρδίτζαν μου ἡ ἄπειρός σου ἀγάπη·
»εἰμὶ γὰρ νέος, ὡς ὁρᾷς, οὐκ οἶδα τί ἔνι ὁ πόθος·
»οὔτε γινώσκω κἂν ποσῶς τὰς ὁδοὺς τῆς ἀγάπης,
»καὶ εἰ μὲν εἰσέλθῃ ὁ πόθος σου εἰς τὴν ψυχήν μου ἀπέσω
»ὁ πατήρ σου ὁ στρατηγὸς καὶ τὸ συγγενικόν του
»καὶ ἅπαντες οἱ μετ' αὐτοῦ, ἐὰν γένωνται βέλη
»καὶ ξίφη ἀπαστράπτοντα, οὐ δύνανταί με βλάψαι».
Καὶ ἦν ἰδεῖν οὐδέποτε τέλος ἐκείνων λόγοις·
ἔρως τότε παρώξυνεν ἄσεμνον διαπρᾶξαι,
δουλοῖ γὰρ τὰ φρονήματα ἔρως ὡς ὢν δεσπότης,
ὑποτάσσει τὸν λογισμὸν ὡς ἡνίοχος ἵππον·
καὶ διὰ τοῦτο ὁ ποθῶν εὐταξίαν οὐκ ἔχει,
οὐ συγγενεῖς αἰσχύνεται, οὐ γείτονας πτοεῖται,
ἀλλ' ἔστιν ὅλως ἀναιδὴς δοῦλος ὢν τῆς φιλίας,
ὥσπερ καὶ ἡ πανεύγενος κόρη πέπονθε τότε,
καὶ παρέκυψε μερικῶς ἐκ τὴν χρυσῆν θυρίδα.

316 εἰς ἔχεις με—

325. Βλέπε σχετικῶς ἀντίστοιχον χωρίον ἐν Α 1740 καὶ ταυτάριθμον ὑποσημ. Περὶ Δουκῶν βλέπε ὡσαύτως εἰς τὰ κείμενα ἀμφοτέρων τῶν τόμων τοῦ παρόντος ἔργου καὶ δὴ ἐν τοῖς χωρίοις καὶ ὑποσημ. Α 20, Α 489, Α 492, Α 1349, Α 1360, Α 1361, Α 1372, Α 1666, Κα 267, Κδ 43, Κδ 59, Κδ 325, Κστ 14, Ε 137. Βλέπε ὡσαύτως ἐν τοῖς Εὑρετηρίοις λέξ. Δούκας κλπ.

345. Βλέπε σχετικῶς περαιτέρω Κδ 505 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ., ὡς καὶ ὑποσημ. Α 1757

[§ 239] Τὰ κάλλη τοῦ προσώπου της κωλύουν τοὺς
⟨ὀφθαλμούς του,
καὶ οὐ δύναται καλῶς ἰδεῖν τὴν ἡλιογεννημένην·
ὡς γὰρ ἀκτὶς ἀνέτειλεν ἐν μέσῳ τοῦ προσώπου.
[§ 240] Ἦν γὰρ ἡ κόρη ἀληθῶς ὥσπερ ἱστορισμένη· 27β
ὄμμα γοργὸν ἐνήδονον, κόμην ξανθὴν καὶ σγοῦρον,
ὀφρὺν εἶχε κατάμαυρον, ἄκρατον δὲ τὸ μέλαν,
ὡς χιόνα τὸ πρόσωπον, μέσον δὲ βεβαμμένον,
οἷα πορφύρα ἐκλεκτὴ ἣν βασιλεῖς τιμῶσι.
Οὕτως ἰδὼν ὁ θαυμαστὸς ἐκεῖνος νεανίας,
εὐθὺς ἐτρώθη τὴν ψυχήν, ἐπλήγη τὴν καρδίαν,
καὶ πόνον εἶχεν ἄπειρον, ἀδημονῶν εἱστήκει.
[§ 241] Κόρη δὲ ἡ πανεύγενος, οὕτως αὐτὸν ἰδοῦσα,
οὐ παρεῖδε κατὰ πολὺ τῷ ἄλγει ἐπιμένειν,
ἀλλὰ ταχέως ἔστειλε πρὸς αὐτὸν τὴν ἀγάπην
πολλῆς χαρᾶς ἀνάπλεων, ἡδονῆς μεμιγμένην,
τὸ δακτυλίδιν ἔδωκεν εἰποῦσα πρὸς ἐκεῖνον·
«Ἄπιθι χαίρων, ἄγουρε, κἀμοῦ μὴ ἐπιλάθῃς».
[§ 242] Ὁ δὲ δεξάμενος αὐτὸ εἰς τὸν ἴδιον κόλπον,
εὐθὺς ἀνταπεκρίνατο· «Αὔριόν με ἐκδέχου».
Καὶ χαρᾶς ὅλως ἐμπλησθεὶς ὥδευε μετὰ πάντων·
εἰς δὲ τὸν οἶκον φθάσαντες, εὐθὺς φροντίδας εἶχε,
καὶ τὸν Θεὸν ἱκέτευεν ἐξ ὅλης τῆς καρδίας.
[§ 243] «Δέσποτα, λέγων, ὁ Θεὸς ἐπάκουσον εὐχῆς μου,
»καὶ δῦνον μου τὸν ἥλιον, ἀνάτειλον τὸ φέγγος,
»ὡς ἄν μοι γένῃ συνεργὸς ἐν τῇ δουλείᾳ ταύτῃ·
»ἐπειδὴ γὰρ μονώτατος βούλομαι πορευθῆναι».
[§ 244] Καὶ κατ' ἰδίαν ἔλεγε τὸν πρωτοστράτορά του·
«Ἀπόστρωσε τον βοῦλχαν μου, στρῶσον μου δὲ τὸν
⟨μαῦρον,
»δύο κίγκλας τον κίγκλωσον καὶ δύο ἐμπροσθελίνας, 28α
»καὶ κρέμασε εἰς τὴν σέλλαν μου τὸ ὡραῖον μου
⟨σπαθορράβδιν,
»καὶ θὲς βαρὺ τὸ μάσσημα ἵνα γοργὸν γυρίζῃ».
[§ 245] Καὶ εἰς τὸν δεῖπνον προσκληθεὶς οὐ μετέσχε
⟨βρωμάτων,
οὐ πόσεως τὸ σύνολον θέλοντα τοῦ γευθῆναι,
τὴν κόρην στρέφων κατὰ νοῦν, τὸ κάλλος εἰκονίζων·
καὶ ποτὲ μὲν οὐκ ἔχρηζε ταύτην ἀπογινώσκων,
ἄλλοτε δ' ἐφαντάζετο ἔχων χρηστὰς ἐλπίδας,
καὶ τοῖς πᾶσιν ἐφαίνετο ἐν ὀνείρῳ θεᾶσθαι.
[§ 246-248] Ὃν καὶ ἡ μήτηρ ἡ αὐτοῦ ἵστατο ἀποροῦσα·
«Τί συνέβη σοι, τέκνον μου, καὶ λυπεῖς τὴν ψυχήν μου;
»μὴ θηρίον προσέκρουσε καὶ ἐτάραξε φόβος;
»μὴ δαίμων σε ἐβάσκανε, βλέπων σου τὴν ἀνδρείαν;
»ἀνάγγειλόν μοι τάχιον, μὴ θλίβῃς τὴν ψυχήν μου·
»ὁ γὰρ κρύπτων τὸ νόσημα ὑπ' αὐτοῦ δαπανᾶται».
[§ 249] «Οὔτε θηρίον προσέκρουσεν, ὁ νέος ἀπεκρίθη,
»ἀλλ' οὔτε πάλιν θόρυβος ἐτάραξε ψυχήν μου.
»εἴπερ δὲ τὴν μ' ἐβάσκανε, μὴ με τὴν καταρᾶσαι,
»τὴν μηδὲν ἀδικήσασαν· ἐγὼ γὰρ ὑγιαίνω».
[§ 251] Εἶτα κἀκεῖθεν ἀναστὰς ἀνέβη εἰς τὸ κουβούκλιν,
καὶ λαβὼν ὑποδήματα λαμβάνει καὶ κιθάραν,
ψιλαῖς δὲ πρῶτον ταῖς χερσὶ τὰς χορδὰς ἐκτινάξας,

375 πρωτοστάτορά του·—

384 ἄλλωστε δ' ἐφαντ.—

350. Ἡλιογεννημένη, ἡ γέννημα ἡλίου, ἡ ἡλιογέννημα=κόρη τοῦ ἡλίου, λάμπουσα ὡς ἥλιος. Βλέπε σχετικῶς ὑποσημ. Α 1763, Α 2984, Α 1757. Καὶ ἐν τοῖς Εὑρετηρίοις ἀμφοτέρων τῶν τόμων ἐν λέξ. ἡλιογέννητος καὶ ἡλίου φέγγος, ὡς καὶ ὑποσημ. Κδ 635, Κδ 807, Κστ 134.

353. Ὄμμα γοργὸν ἐν ἡδονῇ κλπ. Τὸ χωρίον εἶναι ἀπομίμησις ἐκ τοῦ Ἀχιλλ. Τατίου: «Ὄμμα γοργὸν ἐν ἡδονῇ· κόμη ξανθή, τὸ ξανθὸν οὖλον· ὀφρὺς μέλαινα, τὸ μέλαν ἄκρατον· λευκὴ παρειά· τὸ λευκὸν εἰς μέσον ἐφοινίσσετο, καὶ ἐμιμεῖτο πορφύραν κλπ.». (Τατ. βιβλ. Α' κεφ. 4). Πρβλ. ἀντίστοιχον τῷ παρόντι χωρίον ἐν Α 1768 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. Βλέπε ὡσαύτως καὶ ὑποσημ. Α 133, πρβλ. δὲ καὶ Ἀνν. Κομνηνῆς ἐν Ἀλεξιάδος τόμ. α', ἔκδ. Leib Παρισίων, σελ. 111, στίχ. 17 ἑξ. καὶ Εὐσταθ. Γ' 184, 3 ἑξ. Ἀνάλογος ἔκφρασις καλλονῆς κόρης εἶναι καὶ ἡ ἐν Α 2863. Πρβλ. καὶ αὐτόθι, βλέπε δὲ καὶ ταυταρίθμ. ὑποσημ.

372. φέγγος=ἡ σελήνη, τὸ φεγγάρι. Βλέπε σχετικῶς ὑποσημ. Α 1787.

375. στράτωρ=ὁ σταυλίτης, πρωτοστράτωρ=ὁ σταυλάρχης πλουσίου καὶ ἐπιφανοῦς μεγιστᾶνος τῶν μ. χρόνων. Βλέπε σχετικῶς ὑποσημ. Α1790.

376. βοῦλχας=ἵππος. Περὶ πλήθους ὀνομάτων δηλωτικῶν τῶν διαφόρων κατηγοριῶν ἵππων βλέπε ὑποσημ. Α 3586.

377. κίγκλα=ἔποχον, ζώνη, δι' ἧς στηρίζεται τὸ ἐφίππιον ἐπὶ τοῦ ἵππου, ἐκ τοῦ λατ. cingula=ζώνη. Ἐντεῦθεν τὸ ῥῆμα κιγκλώνω. Ἀπαντᾷ καὶ ὁ τύπος ἴγγλα ἐκ τοῦ λατ. ἐπίσης jungula. Βλέπε σχετικῶς ἐν Α 1792 καὶ ὑποσημ. Α 1790.

385. καὶ τοῖς πᾶσιν ἐφαίνετο ἐν ὀνείρῳ θεᾶσθαι. Ἀπομίμησις ἐκ τοῦ Ἀχιλλ. Τατίου: «Τί μὲν οὖν ἔφαγον, μὰ τοὺς θεούς, ἔγωγε οὐκ ᾔδειν. Ἐῴκειν γὰρ τοῖς ἐν ὀνείροις ἐσθίουσιν». (Τατ. βιβλ α', κεφ. ε'). Πρβλ. σχετικῶς διαφορὰς ἐν Α 1796 ἑξ. καὶ βλέπε ταυτάριθμ. ὑποσημ. αὐτόθι.

398. Ὁ στίχος εἶναι πιστὴ σχεδὸν ἀντιγραφὴ ἐκ τοῦ Ἀχιλλ. Τατίου καὶ μάλιστα ἐκ τοῦ αὐτοῦ χωρίου ὁπόθεν προέρχεται ἡ ἀπομίμησις περὶ ἧς ἐγένετο λόγος ἀμέσως ἀνωτέρω ἐν ὑποσημ. Κδ 385. Εἰς τὸ σχετικὸν χωρίον τοῦ Τατίου πρόκειται περὶ οἰκέτου τοῦ πατρὸς τοῦ Κλειτοφῶντος, ὅστις «κιθάραν ἁρμοσάμενος καὶ ψιλαῖς τὸ πρῶτον διατινάξας ταῖς χερσί, τὰς χορδὰς ἔκρουε». (Τατ. βιβλ. α', Κεφ. ε'). Βλέπε τὰς περαιτέρω προσθήκας τῶν ἄλλων διασκευαστῶν περὶ χορδῶν ἐξ ἐντέρων προβάτων κλπ. ἐν Α 1833 (1244) καὶ Ε 828. Βλέπε δὲ καὶ σχετικὰς ὑποσημ. αὐτόθι Α 1827 καὶ Ε 828 ἑξ

κάλλιστα δ' ἐπεπαίδευτο ἐν μουσικοῖς ὀργάνοις.
[§ 254] Καὶ ταύτην ἁρμοσάμενος ἔκρουε ψιθυρίζων·
«Ὅστις φιλήσειεν ἐγγύς, τοῦ ὕπνου οὐχ ὑστερεῖται,
»ὁ δὲ φιλῶν ἀπόμακρα μὴ ἀμελῇ τὰς νύκτας·
»ἐγὼ μακρόθεν ἀγαπῶ καὶ γοργὸν ἂς ὑπάγω, 28β
»ἵνα μὴ θλίβω τὴν ψυχὴν τὴν δι' ἐμὲ ἀγρυπνοῦσαν».
[§ 252] Ὅταν ἔδυνε ὁ ἥλιος, κατέλαβε τὸ φέγγος,
μόνος ἐκαβαλλίκευσε κρατῶν καὶ τὴν κιθάραν.
[§ 255] Ἦτον δάος ὁ μαῦρος του, τὸ φέγγος ὡς ἡμέρα,
σύναυγα δὲ κατέλαβε τῆς κόρης τὸ κουβούκλιν.
Ἐκείνη δὲ ὡς ἐκδέχετο ὁλονυκτὶ ἀγρυπνοῦσα,
τὴν αὐγὴν ἐρραθύμησε καὶ εἰς ὕπνον ἐτράπη.
[§ 256] Ὡς δὲ ταύτην οὐκ ἔβλεπε τὸ εὐγενὲς παιδίον,
ἠνιᾶτο κατὰ πολύ, ἐταράττετο σφόδρα,
λογισμοὶ ἔκοπτον αὐτοῦ πονηροὶ τὴν καρδίαν,
θλῖψιν εἶχεν ἀφόρητον καὶ ὀδύνην μεγίστην·
ἔλεγε γὰρ ἐν ἑαυτῷ· «Ἄρα μετεμελήθη;
»ἄρα πτοεῖται τοὺς γονεῖς μήπως αὐτὴν νοήσουν;
»τί πρὸς ταῦτα βουλεύσομαι; πῶς τὸ βέβαιον μάθω;

401 ἑξ. Πρβλ. σχετικῶς τὰ ἀντίστοιχα χωρία τῶν διασκευῶν Α 1842—1848 καὶ Ε 836—843, ἔνθα παρατηρεῖται πλήρης παρανόησις. Τὸ ἀντίστοιχον χωρίον τῆς διασκευῆς Τ λείπει. Βλέπε σχετικῶς ὑποσημ. Α1838 (1249). Πρβλ. ὡσαύτως ἐν ὑποσημ. Α 1842 ἑξ. ἀντίστοιχον χωρίον Π 354, 1—7, τὸ ὁποῖον παρουσιάζει ὁπωσδήποτε λογικὸν εἱρμόν. Τὴν αὐθεντικωτέραν ὅμως καὶ ὀρθοτέραν παράδοσιν διέσωσε τὸ παρὸν χωρίον, τὸ ὁποῖον συμφωνεῖ καὶ πρὸς τὰ λαϊκὰ ᾄσματα: «Καλὰ 'καμα κι' ἀγάπησα δίπλα στὴ γειτονιά μου κι' ἔχω τὸν ὕπνο διάφορο καὶ τὸ φιλὶ κοντά μου.—Στὴ γειτονιά μου σ' ἔχω 'γὼ στὴν πόρτα μ' ἀπὸ πάνω, μήτε παπούτσα καταλυῶ, μήτε τὸν ὕπνο χάνω». (Κρητικὲς μαντινάδες, Συλλογὴ Μ. Λιουδάκη, λαϊκὴ ἔκδοσις σελ. 38). Βλέπε σχετικῶς παρατηρήσεις μου περὶ τῶν μεταγενεστέρων δημωδῶν ᾀσμάτων ἐν Γενικῇ εἰσαγωγῇ τοῦ Ἀκριτ. ἔπους, τομ. α' τοῦ παρόντος ἔργου, σελ. λγ' καὶ ἰδίως σελ. λδ' καὶ ὑποσημ. 113 περίπτωσιν β').

407. ἑξ. Ἦτον δάος ὁ μαῦρος του, τὸ φέγγος ὡς ἡμέρα = ἦτο ταχὺς ὁ ἵππος του, ἡ δὲ σελήνη ἐφώτιζε ὡς νὰ ἦτο ἡμέρα. Ἐκ τῆς ἀντιπαραβολῆς τῶν ἀντιστοίχων χωρίων ἐν Α 1849, Ε 844 ἑξ. καὶ Π 354,7-9 διαπιστοῦται ὅτι οἱ λοιποὶ διασκευασταὶ παρενόησαν τὴν ὀρθὴν ἔννοιαν, τὴν ὁποίαν διέσωσε μόνον τὸ κείμενον τῆς παρούσης διασκευῆς. Βλέπε σχετικῶς ὑποσημ. Α 1849 ἑξ. Ὡς πρὸς τὴν λέξιν δάος, πλὴν τῆς ὑποσημ. Α 3586 βλέπε παρατηρήσεις μου ἐν Χρον. Μορ. ὑποσημ. στίχ. 3378. Ἡ λέξις ἀπαντᾷ καὶ παρὰ Λυβίστρ. Βλέπε καὶ παρατηρήσεις Lambert ἐν ἔργῳ Le Roman de Libistros Ἀμστελόδαμον 1935, σελ. 452, Εὑρετήριον ἐν λεξ. δάος, ὡς καὶ ἐν Κυριακ. Διγ. Ἀκρ. σελ. 82 ἑξ. Ἡ λέξις δάος ὑποθέτω ὅτι δὲν εἶναι ἄσχετος μὲ τὴν συνώνυμον δαγάλλος καὶ δαγάλλιν ἀλλ' ἡ ἐτυμολογία της εἶναι ἄγνωστος.

»ἐξαπορεῖ γάρ μου ὁ νοῦς, οὐκ ἔχω τι διαπρᾶξαι·
»εἰ γὰρ λαλήσω, κράζοντος ἕτεροί μου ἀκούσουν,
»δώσουν, ὑπονοήσουν με οἱ φυλάττοντες ὧδε,
»καὶ πρὸ τῆς πράξεως γνωσθῶ μὴ τυχὼν τῆς φιλτάτης,
»ὡς ἂν μὴ ἔχων εὐχερῶς ἰδεῖν τὴν ποθουμένην·
»καὶ τί μοι ἔστιν ὄφελος ζῆν ἐν τῷδε τῷ βίῳ;»
Ταῦτα λέγων ἐν ἑαυτῷ ἐκπληττόμενος σφόδρα,
«Δέον εἶναι, προέκρινε, τοῦ κροῦσαι τὴν κιθάραν,
»ὅπως λάβῃ ἀπόπειραν περὶ ὧν ἠδημόνει·
»φείσασθαι, λέγων, ἐμαυτῷ δοκιμάζων τὴν κόρην
»κιθάραν ταύτην συνεργὸν παραστήσω ἐν μέσῳ,
»καὶ τοῦ Θεοῦ τὸ θέλημα πάντως ἔχει γενέσθαι». 29α
[§ 257] Καὶ ταύτην ἁρμοσάμενος τῷ πλήκτρῳ τε (πατάσσων,
μέλος γὰρ πάνυ ἥδιστον ἐτέλει ψιθυρίζων·
«Πῶς ἐπελάθου, πάντερπνε, νέας ἡμῶν ἀγάπης,
»καὶ ἡδέως καθύπνωσας ἀμερίμνως, εὐκόλως;
»Ἀνάστα, ῥόδον πάντερπνον, μῆλον μεμυρισμένον·
»ὁ αὐγερινὸς ἀνέτειλεν, δεῦρο ἂς περιπατῶμεν».
[§ 258] Ὡς δὲ κιθάρας ἤκουσε τῆς ἡδονῆς ἡ κόρη,
τῆς κλίνης ἐξεπήδησε, σφίγγει της τὸ ζωνάριν,
καὶ χαμηλὰ προκύψασα λέγει τὸν ἀγουρίτζην·
«Ἐγώ, κύρκα, σὲ ὠνείδισα, δι' οὗ πολλὰ βραδύνας,
»ὡς ὀκνηρὸν καὶ ῥάθυμον πάντα νὰ σε ὀνειδίζω.
[§ 259] »Τὴν δὲ κιθάραν ἣν κρούεις, δοκεῖς τὸ ποῦ εἶσαι (οὐκ οἶδας,
»καλέ, ἂν σε νοήσῃ ὁ κύρις μου νά σε κακοδικήσῃ,
»καὶ νὰ ἀποθάνῃς δι' ἐμέ, ὢ τῆς παρανομίας,
»ὁ Θεὸς γὰρ ἐπίσταται ὁ τῶν κρυφίων γνώστης,
»ὅτι ἐρριζώθη ὁ πόθος σου εἰς τὴν ἐμὴν καρδίαν,
»καὶ συμφορὰν λογίζομαι τὴν σὴν ἀποτυχίαν·
»σῴζου λοιπόν, ψυχὴ ἐμή, πρὶν τὸ φῶς καταλάβῃ,
»καὶ μνήσκου μου διὰ παντὸς τῆς σὲ πολλὰ ποθούσης·
»καὶ γάρ, καλὲ νεώτερε, οὐ θέλω ἐλθεῖν μετὰ σου.
[§ 260] »Οἶδα ὅτι ὁ πόθος φλέγει σε, καὶ ἡ ἀγάπη ἡ ξένη,
»ὁ λογισμὸς εἰσπείθει σε δι' ἐμοῦ ἀποθνήσκειν·
»ἀλλ' ἂν παροδηγήσῃς με καὶ ἔλθω μετὰ σένα, 29β
»καὶ γνώσουν το τὰ ἀδέλφια μου καὶ τὸ συγγενικόν μου,
»καὶ καταφθάσῃ σε ὁ πατὴρ ὁ ἐμὸς μετὰ πλήθους,
»πῶς ἔχεις ἐξιβάλειν με καὶ σῶσαι τὴν ψυχήν σου;»

418 ἀπορεῖ γάρ μου—434 Ἀλλ' ἀνάστα,—449 μετὰ σοῦ.—

[§ 261] Καὶ λυπηθεὶς ὁ θαυμαστὸς πρὸς τὴν κόρην
(ἀντέφη.
«Ἐπαινῶ σου τὴν ἔκστασιν, ὦ πανευγενεστάτη,
»τὸ γὰρ ἐνάντιον σκοπῶν τῶν μελλόντων συμβαίνειν,
»προκρίνεις γὰρ τὰ βέλτιστα σαφῶς λογιζομένη·
»σὺ δὲ μηδὲν γινώσκουσα τὰ κατ' ἐμὲ οὐδόλως,
»εἰ γὰρ ἐν γνώσει γέγονας ἐμῶν ἀνδραγαθίων,
»οὐκ ἂν ἔλεγες ἀδελφοὺς καὶ τὸ συγγενικόν σου
»φθάσουν καὶ ἐγκρημνίσουν με καὶ σὺ δι' ἐμὲ λυπῆσαι.
[§ 262] »Ἀλλ' ἔστω σοι τοῦτο γνωστὸν καὶ βέβαιον,
(ψυχή μου,
»ὅτι φοσσᾶτα προσδοκῶ μόνος καταπονέσαι,
»νικῆσαι τε παραταγὰς καὶ κράτη ὑποτάξαι·
»τὸν δὲ πατέρα τε τὸν σὸν καὶ τοὺς αὐτοῦ ἀγούρους
»ὡσαύτως καὶ τοὺς ἀδελφοὺς μετὰ τῶν συγγενῶν σου
»πάντως βρέφη λογίζομαι καὶ μηδὲν ὅλως ὄντα.
[§ 263-264] »Τοῦτο μόνον ζητῶ μαθεῖν παρὰ τῶν σῶν
(χειλέων·
»εἰ προθυμεῖς κατὰ πολὺ ἐμοὶ ἀκολουθῆσαι,
»ὡς ἂν ὁδοὺς ἐξέλθωμεν τοὺς στενωποὺς πρὶν φέξῃ,
»ῥῦμαι γὰρ καὶ στενώματα ἀποκτείνουν ἀνδρείους,
»εἰς δὲ τοὺς κάμπους ἄνανδροι τολμηροὶ ἐκποιοῦνται.
»Εἰ δ' ἴσως ἐμετέγνωσας ἑτέρου ἠρετίσω,
»καὶ διὰ τοῦτο ἀφορμὰς προβάλλεσαι τοιαύτας,
»μὰ τοὺς ἁγίους μάρτυρας τοῦ Χριστοῦ Θεοδώρους,
»οὐκ ἂν ἄλλος, ζῶντος ἐμοῦ, εἰσακουσθῇ ἀνήρ σου».
[§ 265] Αὖθις ἡ ἡλιόκαλος πρὸς τὸν ἄγουρον ἔφη· 30α
«Σὺ μὲν οὖν, ὦ παμπόθητε, ἀπείραστος ὡς πρῶτον
»πάσης ἀγάπης πέφυκας καὶ φιλίας, ὡς ἔφης·
»νυνὶ δὲ πάσχεις δι' ἐμὲ καὶ ἴσως ἀληθεύεις,
»ἐκ τῶν ὁμοίων καὶ αὐτὴ τοῦτο τεκμαιρομένη·
»εἰ γὰρ καὶ λίαν ἀπρεπὲς τὰ κατ' ἐμὲ εἰπεῖν σοι,
»ὅμως ἐρῶ σοι ἅπαντα τῷ πόθῳ δουλωθεῖσα·
»πολλοὶ ἐμὲ τῶν εὐγενῶν ἄρχοντες μεγιστᾶνες
»καὶ βασιλέων συγγενεῖς ἐζήτησαν καὶ τέκνα
»βασιλικὴν παράταξιν ἔχοντες καὶ ἐσθῆτα,

464 ἀλλ' ἔστι σοι (Διόρθωσις κατὰ Α 1902).—469 λογίζονται—478 ἀποκτένουν—378 οὐ κἂν ἄλλος —

477. Περὶ ἁγίων Θεοδώρων βλέπε καὶ ἐν τοῖς προηγουμένοις Κα 21, ὡς καὶ ἐν Κζ 105 καὶ ἐν Α 4059 καὶ ταυταρίθμ. ὑποσημειώσεις. Βλέπε ὡσαύτως καὶ ἀντίστοιχ. τῷ παρόντι χωρίον ἐν Α 1921 καὶ ταυτάριθμ. ὑποσημ.

»καὶ ποθοῦντες θεάσασθαι τὸν ἐμὸν χαρακτῆρα,
»πυκνότερον διήρχοντο τοῦ οἴκου μου πλησίον,
»ἀλλ' οὐδενὶ τὸ σύνολον ἠρκέσθη ὁ πατήρ μου,
»οὐ τὴν σκιὰν δὲ τὴν ἐμὴν τὶς ἰδεῖν ἠξιώθη,
»φωνῆς οὐδείς μου ἤκουσεν ἢ συντυχίας ὅλως,
»οὐ γέλωτος μειδίαμα, οὐ βαδίσματος ψόφον,
»τῆς θυρίδος οὐδέποτε τὴν κεφαλήν μου ἦγον,
»ἀλλοτρίοις ἀθέατον ἐμαυτὴν διετήρουν·
»ἐκτὸς γάρ μου τῶν συγγενῶν καὶ τῶν γνωστῶν ἰδίων,
»οὐδείς μου εἶδε πώποτε προσώπου χαρακτῆρα,
»τάξιν τηροῦσα ἀκριβῆ τὴν πρέπουσαν παρθένοις.
[§ 266] »Τούτων δὲ γέγονα ἐκτὸς καὶ τοὺς ὅρους
(παρῆλθον
»καὶ ἐγενόμην ἀναιδὴς διὰ τὴν σὴν ἀγάπην·
»καὶ ἡ μηδέποτε ἀνδρὶ ἀλλοτρίῳ ὀφθεῖσα
»λόγους νῦν μεταδίδωμι ὅλως μὴ αἰδουμένη,
»καὶ τὸ ὄντως ἐλεύθερον φρόνημα παρθενίας
»δοῦλον ὁρῶ γινόμενον καὶ ἀναιδὲς ἀθρόως. 30β
»Ἀφ' ἧς γὰρ ὥρας πρόσωπον τὸν σὸν εἶδον, ὦ νέε,
»ὡς πῦρ κατέφλεξεν εὐθὺς τὴν σώφρονα ψυχήν μου,
»μετήλλαξε τὸν λογισμὸν ὁμοίως καὶ τὴν γνώμην,
»τὸ φρόνημα ἐδούλωσεν, ἀναίσχυντόν με ποιήσας,
»εἰς σὲ καὶ μόνον, ποθητέ, καὶ πρὸς τὴν σὴν ἀγάπην,
»πείθομαι νῦν καὶ βούλομαι μετὰ σοῦ πορευθῆναι,
»δι' οὗ ἀρνοῦμαι συγγενεῖς, γονέας ὑστεροῦμαι,
»ἀλλοτριοῦμαι ἀδελφῶν καὶ τοῦ ἀπείρου πλούτου,
»καὶ μετὰ σοῦ πορεύομαι ὅπου δ' ἂν καὶ κελεύῃς,
»Θεὸν ἔχουσα μάρτυρα τὸν πᾶσι βοηθοῦντα
»ἐκδικητὴν παγκάλλιστον, μή με παροδηγήσῃς·
»σὲ μὲν ἡ ἀγάπη φλέγει σε, ἡ ἀγάπη παροξύνει,
»καὶ πείθει σε ὁ λογισμὸς δι' ἐμὲ τοῦ θανεῖν σε,
»ὅπερ ἀπεύχομαι ἰδεῖν ἢ τοῖς ὠσὶν ἀκοῦσαι.».
[§ 267] Ὡς δὲ ταῦτα ἐφθέγγετο ἡ πανώραιος κόρη,
ἐδάκρυσε τοῖς ὀφθαλμοῖς, ἐστέναξε μεγάλως,
καὶ ἑαυτὴν ἐμέμφετο τῆς πολλῆς ἀναιδείας·
καί, θέλουσα κατὰ πολὺ μεταβαλεῖν τὴν γνώμην,
ὁ ταύτης ἔνδον ἄπειρος οὐ συνεχώρει πόθος.
Δύναμις γὰρ τοῦ ἔρωτος, πόθος καὶ ἡ φιλία,

517 καὶ σὲ μὲν ἡ ἀγάπη—521 ἐδάκρυσε τοῖς ἀδελφοῖς,—

505. Πρβλ. σχετικῶς Κδ 345 καὶ Κδ 529 καὶ ταυταριθμ. ὑποσημ. ὡς καὶ ὑποσημ. Α 1757.

ἅπερ τὴν τάξιν ἀκριβῶς τηροῦντα τὴν ἰδίαν,
σώφρονα νοῦν κατέχων τις, ὁ πόθος πολεμεῖ τον·
καὶ διὰ τοῦτο ὁ ποθῶν εὐταξίαν οὐκ ἔχει,
οὐ συγγενεῖς αἰσχύνεται, οὐ γείτονας πτοεῖται,
ἀλλ' ἔστιν ὅλος ἀναιδὴς καὶ δοῦλος τῆς φιλίας,
ὡς καὶ οὕτως πεπόνθασιν οἱ παγκάλλιστοι νέοι. 31α
[§ 268] Εἶτα ὁ θαυμαστὸς ἰδὼν δακρύσασαν τὴν κόρην
μετὰ δακρύων καὶ αὐτὸς ἀντέλεγε τοιαῦτα·
«Ἐγώ, κόρη παγκάλλιστε, τὰ περὶ σοῦ γινώσκω·
»τὸν πλοῦτον γὰρ τὸν ἄπειρον ὃν κέκτηται ὁ πατήρ σου,
»δι' οὗ πολλοὶ τῶν εὐγενῶν ἐπόθουν τοῦ λαβεῖν σε·
»ἐν γνώσει πάντων γέγονα ἀκριβῶς ἐρευνήσας,
»ἐγὼ γάρ, φιλτάτη ψυχή, οὐκ ἐφίεμαι πλούτου,
»οὐ κτήματα ἐπιθυμῶ, οὐκ ὀρέγομαι δόξης,
»πάντα χόρτον λογίζομαι ἐντρυφῶν τοῦ σοῦ κάλλους.
[§ 269] »Ἀφ' ἧς ὥρας, μαυρόμματε, ὠψόμεθα ἀλλήλους,
»οὐκ ἀπέστης ἐκ τὴν ἐμὴν ψυχὴν ὠρίτζαν μίαν·
»ἐρριζώθης γὰρ ἔσωθεν καὶ συνεπλέχθης ταύτῃ,
»καὶ σὲ πάντα φαντάζομαι καὶ βλέπω σε μὴ οὖσαν·
»οὐ γὰρ ἠράσθην πώποτε οἱουδήποτε κάλλους,
»οὐ τὰς ὁδοὺς ἐγνώρισα κἂν ποσῶς τῆς ἀγάπης·
»δεῦρο, τὸ φῶς μου τὸ γλυκύ, ἔπου τῷ ἐραστῇ σου·
»ἥνπερ ἔχεις ἀπέσωθεν ἐμφάνισον ἀγάπην·
»ἀκριβὴς γὰρ ἀπόδειξις συνίσταται ἐξ ἔργων,
»καὶ συμβιώσομεν Θεοῦ νεύσει χαίροντες ἄμφω·
»ἐπὶ τοῦτο γεννήτορες καὶ οἱ σοὶ εὐφρανθῶσιν,
»γαμβροῦ οἵου τετύχηκαν ἐν γνώσει γεγονότες
»καὶ οὐδεὶς ὀνειδίσει σε, μᾶλλον δὲ μακαρίσει».
Ταῦτα καὶ ἕτερα πολλὰ φθεγξάμενος ὁ νέος·
«Ἐν σοί μου πᾶσα ἡ ἀρχή, ἔφησε, καὶ τὸ τέλος
»σὺν Θεῷ ἐναρχόμενον μέχρι τῆς τελευτῆς μου.
[§ 270] »Καὶ εἰ πώποτε βουληθῶ λυπῆσαι σε,
⟨ψυχή μου, 31β

529 οὐ συνεγγεῖς αἰσχύν. (Διόρθ. κατὰ Α 1950).—532 Εἶτα ὁ θαυμαστὸς δακρύσασαν τὴν κόρην—542 ψυχὴν κἂν ὠρίτζαν μίαν·—550 καὶ συμβιώσωμεν νεύσει Θεοῦ χαίροντες ἄμφω·—

529 ἑξ. Ἡ ἰδέα τοῦ ἐν προκειμένῳ χωρίου ὡς καὶ τῶν συναφῶν αὐτῷ ἐν Κδ 345 καὶ Κδ 505 προέρχεται ἐξ ἀπομιμήσεως τοῦ Ἀχιλλ. Τατίου ὅστις πάλιν ἐδανείσθη τὴν ἀρχικὴν ἰδέαν ἐκ τοῦ Μουσαίου Ἡρὼ καὶ Λέανδρος, στίχ. 96-97. «Εἷλε δὲ μιν τότε θάμβος ἀναιδείη... Θάμβει δ' εἶδος ἄριστον, ἔρως δ' ἀπενόσφισεν αἰδῶ». Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 1949 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. Βλέπε ὡσαύτως καὶ ὑποσημ. Α 1757.

»καὶ οὐ φυλάξω ἀθόλωτον τὴν πρὸς ἐμέ σου ἀγάπην
»πόθον τε καθαρώτατον ἄχρι τῆς τελευτῆς μου,
»νὰ μὴ ἀποθάνω χριστιανός, νὰ μὴ κατευοδοῦμαι,
»νὰ μὴ κερδίσω τὰς εὐχὰς τῶν ἐμῶν γεννητόρων·
»καὶ αὐτὴ δέ, πανεύγενε, τὰ ὅμοια φυλάξοις!»
[§ 271 ✱] Ταῦτα ἡ κόρη τοῖς ὠσὶν ἐνηχηθεῖσα εἶπεν·
«Εἰ καὶ λίαν παράνομον τοῦ ἐμαυτὴν προδοῦναι,
»ἡ τάξις γὰρ ἡ ἀληθὴς εὐγένεια καλεῖται,
»ἥνπερ κἀγὼ ἠθέτησα, οὐκ οἶδα τι παθοῦσα,
»πόθος γὰρ ὅμως ἀκραιφνής, ἀγάπη σου ἡ βεβαία
»προτιμοτέραν ἔπεισε σῇ καλλίστῃ ἀγάπῃ».
Εἶθ' οὕτως ὅρκον μ' ἔρωτος ἡ κόρη φθεγξαμένη·
«Καταλιμπάνουσα γονεῖς, ἀδελφοὺς καὶ οἰκίαν,
»ἀπὸ τὸν Θεόν, ὦ ἄγουρε, σοὶ ἐμαυτὴν πιστεύω,
»αὐτόν μοι δίδου μάρτυρα ὅλως μή με λυπῆσαι,
»ἀλλὰ γυναῖκα ἔννομον ἄχρι τέλους ποιῆσαι·
»καὶ γὰρ πολλοὶ τῶν ἐραστῶν ἠθετήκασι λόγους,
»ταῖς ποθουμέναις πρώην γὰρ ἐρωτικῶς δειχθέντες».
[§ 270 ✱] Καὶ ὡς τὸ ἤκουσεν ὁ παῖς ἐξεπλάγη θαυμάζων
τῆς παρθένου τὴν σύνεσιν, ἐπώμοσε δὲ ὅμως·
«Μὰ τὸν Πατέρα καὶ Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα,
»οὐ λυπήσω σε πώποτε, ὦ πανευγενεστάτη,
»ἀλλὰ κυρίαν τῶν ἐμῶν καὶ δέσποιναν ποιήσω,
»γαμετήν τε καὶ σύνοικον μέχρι τέλους ζωῆς μου,
»εἰ καθαρὸν τὸν πρὸς ἐμὲ διατηρήσεις πόθον,
»καθώσπερ καὶ προέφην σοι, ὦ ποθεινὴ ψυχή μου». 32α
[§ 272] Καὶ ἐμπεδώσαντες καλῶς ἀλλήλους ἐκ τῶν ὅρκων,
ἡ παρθένος προκύψασα ἐκ τὴν χρυσῆν θυρίδα,
ὁ παῖς τὴν ὑπεδέξατο ὀρθωθεὶς ἐν τῷ ἵππῳ·
ἡ πέρδικα ἐξεπέτασεν, ὁ ἱέραξ τὴν ἐδέχθη·
καὶ κατεφίλησαν τερπνῶς, ὡς ἔπρεπεν, ἀλλήλους,
ἀνεκλαλήτως χαίροντες καὶ δακρύοντες ἄμφω.
[§ 273] Πεφύκασι γὰρ ἀκαρῆ ἐν χαρμονῇ μεγίστῃ,
καὶ δάκρυα μεθ' ἡδονῆς θερμότατα ἐκίνουν·
ὁ δέ γε παῖς ὑπὸ χαρᾶς κινηθεὶς καὶ ἀνδρείας,
σταθεὶς τοῦ οἴκου ἄντικρυς ἐξεφώνησε λέγων·
«Εὖξαι μου, κύρι πενθερέ, μετὰ τῆς θυγατρός σου·
»εὐχαρίστει δὲ τῷ Θεῷ ἔχων γαμβρὸν τοιοῦτον».
Τῆς δὲ φωνῆς ὡς ἤκουσαν τοῦ στρατηγοῦ αἱ βίγλαι,
διελάλησαν ἅπασιν εἰς τὸ καβαλλικεῦσαι.

573 ἀλλὰ γυναῖκαν ἔννομον—

[§ 274] Καὶ ὁ στρατηγὸς παρευθὺς ἐξάπινα ἀκούσας
ἄλλος ἐξ ἄλλου γέγονεν οὐκ ἔχων ὅ,τι δρᾶσαι·
καὶ ἐκ βάθους ἀνέκραξεν· «Ἀπώλεσα τὸ φῶς μου,
»θυγάτηρ ἡ μονογενὴς ἐξ ὀφθαλμῶν μου ἤρθη».
[§ 275] Στρατήγισσα δ' ὡς ἤκουσεν ἠλάλαζε βοῶσα·
«Οἴχεται ἡ μονογενής, ἡρπάγη ἡ θυγάτηρ».
Οἱ ἀδελφοὶ ἑτέρωθεν θρηνοῦντες ἀνεβόων·
«Τίς τοῦτο κατετόλμησε τὸ ἀνόμημα πρᾶξαι;
»τίς ἀφ' ἡμῶν τὴν ἀδελφὴν ἀπέσπασεν ἀθρόως;»
Ἔκλαιον αἱ οἰκέτιδες, οἰμωγὰς ἀνεβόων,
ὀδυρμὸς ἀκατάσχετος διὰ παντὸς ἐχώρει.
[§ 276] Στρατός τε πολὺς ἔνοπλος εἰς δίωξιν τοῦ νέου
καὶ ὀπίσω ὁ στρατηγὸς μετὰ τῶν δύο τέκνων.
[✱] Ἀλλ' οὐδὲ ἡ στρατήγισσα κατελείφθη ἐν οἴκῳ,
τῆς θυγατρὸς τὸν χωρισμὸν μὴ φέρουσα οὐδόλως·
πλῆθος γὰρ οἰκετίδων τε μεθ' ἑαυτῆς λαβοῦσα,
πεζὴ ὡς εἶχεν εἵπετο, λυσίκομος, θρηνοῦσα·
«Φιλτάτη ψυχή, κράζουσα, ποῦ πορεύῃ οὐκ οἶδα».
[§ 276] Οὐδεὶς δὲ ἐναπέμεινε γηραιὸς οὔτε νέος
ὃς οὐκ ἐκαβαλλίκευσεν εἰς δίωξιν τοῦ νέου,
πάντα ὑπεραλγήσαντες τὴν ἁρπαγὴν τῆς κόρης,
ὡς μὴ ἰσχύειν ἀκριβῶς ἀριθμῆσαι τὸ πλῆθος.
[§ 280 ✱] Καὶ τοῦ φωτὸς αὐγάζοντος ἀπάρτι τῆς ἡμέρας,
ἐκεῖ τοὺς ἐκατέλαβον εἰς τοὺς ἀδήλους κάμπους·
οὕσπερ ἰδοῦσα μήκοθεν ἡ πανώραιος κόρη,
καὶ γὰρ ἔβλεπεν ὄπισθεν σκοπεύουσα ὀξέως,
ἐν ταῖς ἀγκάλαις οὖσα τε τοῦ πανηγαπημένου,
πρὸς αὐτὸν ταῦτα ἔλεγε, σφικτὰ τοῦτον κρατοῦσα·
«Ἀγωνίζου, ψυχίτζα μου, μή μας ἀποχωρίσουν,
»καὶ ἴσχυε κατὰ πολὺ τὸν μαῦρον ἀποπλήττων,
»ἰδοὺ γὰρ μέλλουσιν ἡμᾶς οἱ διώκοντες φθάνειν».
[§ 282] Ὡς ταῦτα δὲ ὁ θαυμαστὸς ἤκουσε νεανίας,
θάρσους εὐθέως ἐμπλησθεὶς καὶ τῆς ὁδοῦ ἐκκλίνας,
δένδρον εὑρίσκει διφυές, κλάδους φέρον τε δύο,
καὶ τὴν κόρην ἀποβαλὼν μέσον τῶν δύο κλάδων·
«Αὐτοῦ κάθου, παγκάλλιστε, καὶ σὸν φίλτατον βλέπε».

598 καὶ ὁ στρατηγὸς εὐθὺς ἐξάπινα ἀκ.—629 θαύμαστος—

621 ἑξ. Προβλ. ἐν Α 2023 ἑξ. καὶ μετὰ τὸν στίχον τοῦτον πρόσθετα χωρία αὐτόθι περὶ μονομαχίας Διγενοῦς μετὰ τοῦ Σουδάλη, λόγους Διγενοῦς πρὸς τὴν κόρην ἐν Α 2055 ἑξ., καθὼς καὶ ἄλλας περαιτέρω διαφορὰς Α 2061 ἑξ. πρὸς Κδ 629 ἑξ., Α 2068 ἑξ. πρὸς Κδ 645 ἑξ., Α 2075 ἑξ. πρὸς Κδ 659 ἑξ.

Καὶ πρὸς πόλεμον ἑαυτὸν καθοπλίζει εὐθέως.
Καὶ τότε τὸ ἡλιογέννημα τὸν ἄγουρον ἐλάλει·
«Τοὺς ἀδελφούς μου πρόσεχε μὴ τοὺς κακοδικήσῃς». 33α
Ξένον πρᾶγμα ἐδείκνυτο τοῖς ἐκεῖσε παροῦσι
πῶς μόνος κατετόλμησε συμβαλεῖν χιλιάσιν·
καὶ ἐν βραχεῖ ἀπέκτεινε στρατιώτας ἀπείρους
καθωπλισμένους, ἱππικούς, πολέμου γυμνασμένους,
οἷς συμβουλεύειν ἤρξατο στραφῆναι εἰς τὰ ὀπίσω,
καὶ μὴ πεῖραν τῆς ἑαυτοῦ καταλαβεῖν ἀνδρείας.
Ἐκεῖνοι δὲ τὴν τοῦ ἑνὸς αἰσχυνόμενοι ἧτταν,
τὸ θανεῖν ᾑρετίσαντο ἢ θανεῖν ὑπ' ἐκείνου.
[§ 283 ✱] Κἀκεῖνος ἐπελάλησε, σύρνει τὸ σπαθορράβδιν,
καὶ πρὶν ἐλθεῖν τὸν στρατηγὸν οὐδὲ εἷς ὑπελείφθη.
Καὶ τοῦ πολέμου πέρας τε ὁ παῖς ἀποπληρώσας,
ὡς νικητὴς ὑπέστρεφε πρὸς τὴν παρθένον χαίρων,
καὶ ἐκ τοῦ ἵππου καταβὰς καὶ μύρια φιλήσας·
«Ἔχεις με, κόρη πάντερπνε, ἀπόδειξιν τῶν ἔργων».
Ἡ δὲ κόρη τὸν ἄγουρον ὡραΐζουσα πλέον,
ἡδέως ὑπεδέχετο φιλημάτων τοὺς ψόφους,
ἠρέμα πρὸς τὸν ἄγουρον οὑτωσὶ φθεγξαμένη·
«Μὴ ἀδικήσῃς, ὦ ψυχή, τοὺς ἐμοὺς αὐταδέλφους·
«ἐκείνους γὰρ οὕσπερ ὁρᾷς πρὸς ἡμᾶς ἐρχομένους
»ἐκ τῶν ἵππων τεκμαίρομαι ἀδελφοὺς ἐμοὺς εἶναι,
»καὶ ὁ τρίτος ὁ μετ' αὐτῶν ὁ πατήρ μου τυγχάνει,
»τούτους μοι σώους χάρισον, ἀβλαβεῖς συντηρήσας».
[§ 284 ✱] «Γενήσεται ὅπερ αἰτεῖς, ὁ παῖς τῇ κόρῃ ἔφη,
»εἰ μή τι ἕτερον συμβῇ ἐκ τῶν ἀπροσδοκήτων·
»ὁ γὰρ ἐχθρῶν φειδόμενος ἐν ὥρᾳ τοῦ πολέμου,
»ὑπ' ἐκείνων ἀσυμπαθῶς κατεβλήθη πολλάκις». 33β
Ταῦτα εἰπὼν εἰσπήδησεν ἐν τῷ ἰδίῳ ἵππῳ
καὶ τοῖς περὶ τὸν στρατηγὸν σπουδαίως ὑποπίπτει.

663 Ταῦτα εἰσπήδησεν—

635. ἡλιογέννημα. Βλέπε ὑποσημ. Κδ 350, Κδ 807, Κστ 134, Α 1757, Α 1763, Α 2984 ὡς καὶ ἐν τοῖς Εὑρετηρίοις ἀμφοτέρων τῶν τόμων ἐν λ. ἡλιογέννητος, ἡλιογέννημα καὶ ἡλίου φέγγος.

654 ἑξ. Πρὸς τὸ παρὸν σχετίζεται ἀνάλογον τοιοῦτον Ποντιακοῦ ᾄσματος ἔχον ὡς ἑξῆς : «Κόρη ἀκεῖν' πoὺ ἔρχονται κανὲν πάλ' κ' ἐγνωρίζεις ; Ἐμπρὸς ποὺ ἔρτ' ὁ καβαλάρς, ὁμοιάζει νὰ ἔν ὁ κύρι μ', κ' ἀκεῖν' οἱ μαῦρ' οἱ ἀλογάλτ', ὁμοιάζει νὰ εἶν τ' ἀδέλφια μ' κ' ἀκείν' ἡ γερανόφορος ὁμοιάζ' νὰ ἔν ἡ μάννα μ'». Βλέπε σχετικῶς ἐν Π. Τριανταφυλλίδου, οἱ Φυγάδες Ἀθῆναι 1870, Εἰσαγωγὴ σελ. 171-173 καὶ Σ. Ἰωαννίδου Ἔπος μεσαιωνικὸν Διγ. Ἀκρίτας, Εἰσαγωγή, σελ. 34 (Πρβλ. πλήρεις τίτλους ἐν Βιβλιογραφίᾳ α' τόμου παρόντος ἔργου σελ. λθ', τίτλ. 2, καὶ ὑποσημ. Α 310). Βλέπε καὶ ὑποσημ. Α 2067.

Οἱ δὲ τῆς κόρης ἀδελφοὶ ζήλου πολλοῦ πλησθέντες
ἀνελεῖν τοῦτον ἔλεγον τοῖς ἰδίοις ἀγούροις,
τὸν φόνον προσδοκώμενοι ὑφ' ἑτέρων γενέσθαι·
ὁ δὲ παῖς τὸ παράγγελμα φυλάττων τῆς φιλτάτης
εὐτέχνως τούτους ὑπελθὼν σοφῶς ἀνεῖλε πάντας.
[§ 285] Οἱ δ' ἀδελφοὶ ὁρμήσαντες μανικῶς ἐπ' ἐκεῖνον,
οὕτως αὐτοὺς ἐκύκλευσεν ἐκ τῶν ἵππων εἰσρίψας
ὡς ἂν μὴ βλάψαι ἀκριβῶς ἢ ὅλως τραυματίσαι.
[§ 286] Καὶ στραφεὶς πρὸς τὸν στρατηγὸν μακρόθεν καὶ ⟨πεζεύσας,
σφικτὰ δήσας τὰς χεῖρας του, χαμηλὰ προσκυνήσας,
ἤρξατο λέγειν πρὸς αὐτὸν θαρσαλέᾳ τῇ ὄψει·
«Συγχώρησόν μοι, αὐθέντα μου, μηδέν με καταμέμφου·
»ὁ στρατός σου ἦτον χωρικὸς τοῦ κρούειν καὶ λαμβάνειν,
»καὶ διὰ τοῦτο οἱ πλείονες εἰς τὸν ᾅδην ἀπῆλθον·
»οὐ γάρ εἰμι τῶν ἀγενῶν οὐδὲ τῶν ἀνανδρείων,
»καὶ εἰ ποτὲ προστάξῃς με ποιῆσαι σοι δουλείαν,
»τότε λοιπὸν βεβαιωθῇς οἷον γαμβρὸν ἐπῆρες·
»εἰ δὲ καὶ πεῖραν λάβῃς μου ἀκριβῆ ἐκ τῶν ἔργων,
»τῆς εὐτυχίας ἑαυτὸν μακαρίσεις πολλάκις».
[§ 287] Αὐτίκα δὲ ὁ στρατηγός, χεῖρας εἰς ὕψος ἄρας
καὶ ὄμμα πρὸς ἀνατολάς, τῷ Θεῷ ηὐχαρίστει·
«Δόξα σοι, λέγων, ὁ Θεὸς ὁ συμφερόντως πάντα
»οἰκονομῶν τὰ καθ' ἡμᾶς σοφίᾳ τῇ ἀρρήτῳ·
»ὡς γὰρ αὐτὸς ἠθέλησα γαμβροῦ κατηξιώθην 34α
»ὡραίου τε καὶ εὐγενοῦς, σώφρονος καὶ ἀνδρείου,
»οἵου οὐδεὶς ἐπέτυχε πώποτε εἰς τὸν κόσμον».
[§ 288] Ταῦτα ἐξ ὅλης τῆς ψυχῆς Θεῷ εὐχαριστήσας,
πρὸς τὸν παῖδα ἐφθέγξατο ἐπιεικῶς τοιάδε·
«Χάρις μέν, ὦ χρυσόγαμβρε, τῷ Θεῷ ἐπὶ πᾶσι,
»τῷ τὰ συμφέροντα ἡμῖν καλῶς οἰκονομοῦντι·
»ἔπαρον δέ, παγκάλλιστε, ἣν ἔλαβες ἐκ πόθου·
»εἰ μὴ γὰρ πόθον ἄπειρον πρὸς αὐτὴν πάντως εἶχες
»οὐκ ἂν μόνος ἐτόλμησας ἐμβῆναι εἰς χιλιάδας.
[§ 289] »Δεῦρο οὖν ἂς ἀπέλθωμεν εἰς τὸν ἐμὸν τὸν οἶκον,
»καὶ μὴ λογίζου παρ' ἡμῶν λυπηρὸν ὑποστῆναι,
»ἀλλ' ἵνα καὶ τὰ σύμφωνα ποιήσωμεν τοῦ γάμου

670 ὑπ' ἐκεῖνον,—674 σφικτάς δήσας—677 κρούειν καὶ μὴ λαμβάνειν,—

677. Χωρικὸς=ἀνίδεος, ἀμαθής. Πρβλ. σχετικῶς ἀντιστοιχ. χωρίον ἐν Α 2092 καὶ ὑποσημ. Α 2090 αὐτόθι.
698 ἐξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 2112 ἐξ. καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.

»συμβόλαια ἐν γράμμασι, τοῦ πατρός σου παρόντος,
»τάχιστα γὰρ ὡς μηνυθεὶς πρὸς ἡμᾶς ἐπανήξεις
»καὶ τὴν προῖκα τῆς θυγατρὸς τῆς ἐμῆς ἀπολήψεις·
»ποιήσω καὶ τοὺς γάμους σου ἀκουστοὺς εἰς τὸν κόσμον,
»νὰ λάβῃς καὶ τὴν προῖκα σου ἀπ' αὐτῆς τῆς ἡμέρας
»κεντηνάρια εἴκοσι νομίσματα παλαῖα,
»ἃ πρὸ καιροῦ ἐχώρισα καὶ ἐθέμην ἰδίως
»τῆς φιλτάτης εἰς ὄνομα, καὶ ἀργυραῖα σκεύη,
»βιστιάριον χρῆζον τε πεντακοσίας λίτρας,
»κτήματα πολλὰ ἀκίνητα εἰσόδων τριανταέξ,
»βάγιας ἑβδομήκοντα σὺν τῷ μητρῴῳ οἴκῳ,
»περιφανεῖ τυγχάνοντι καὶ πολυτίμῳ ὄντως·
»ὡσαύτως καὶ ἐξαίσια κόσμια τῆς μητρός της,
»στέφανον τὸν παγκόσμιον, ἀξιέπαινον ἔργον 34β
»συντεθειμένον ἐκ χρυσοῦ, λίθων τιμιωτάτων·
»καὶ μετὰ τούτων πάντων εὑρισκόμενα ζῷα,
»πρωτεῖα τετρακόσια, στράτορας ὀγδοήντα,
»μαγείρους δεκατέσσαρας καὶ μάγκιπας ὡσαύτως,
»καὶ ἕτερα ψυχάρια ἑκατὸν καὶ πενήντα.
[§ 290] »Δώσω σοι καὶ προτίμησιν τῶν λοιπῶν μου ⟨παιδίων
»πλοῦτον πολὺν καὶ ἄπειρον, κτήματα οὐκ ὀλίγα,
»σὺν τούτοις ἄλλα πλείονα παράσχω τῶν ῥηθέντων,
»πρὸ τοῦ γενέσθαι, τέκνον μου, τὴν ἱερολογίαν,
»ποιήσω καὶ τοὺς γάμους σου ἀκούστους εἰς τὸν κόσμον,
»τοῦ μὴ κράζειν σε πώποτε κλεψίγαμον οἱ νέοι,
»καὶ ὅτι κόρην ἥρπασας πραγμάτων ἀμοιροῦσαν,
»ὅπερ αἰσχύνη πέφυκε πᾶσι τοῖς εὖ φρονοῦσιν·
»καὶ ταῦτα πῶς οὐκ ἐκφυγεῖν ῥαδίως ἐξισχύσεις,
»εἰ μὴ τανῦν σὺ μεθ' ἡμῶν ὑποστραφῇς ἐν οἴκῳ
»ὅπως καὶ ἡ στρατήγισσα παρηγορίαν λάβῃ
»οὐδαμῶς γὰρ ἐπίσταται ποῖος ἄρα τυγχάνεις,
»καὶ χαίρουσα τῶν ἀγαθῶν μεγαλύνῃ δοτῆρα·
»πείσθητι οὖν, καλὲ γαμβρέ, καὶ ἐλθὲ μετ' ἐμένα».
[§ 291] Ταῦτα εἰπὼν ὁ στρατηγὸς κολακεύων τὸν νέον,
παρευθὺς ὁ νεώτερος τῷ στρατηγῷ ἀντέφη·
«Πεισθῆναι σου τῆς συμβουλῆς ἀρίστης ὑπαρχούσης,
»αὐθέντα μου καὶ πενθερέ, δίκαιον με τυγχάνει,

—729 εἰ μὴ τανῦν μεθ' ἡμῶν ὑποραφῇς ἐν οἴκῳ,—

719. ψυχάρια, παρὰ τοῖς Βυζαντινοῖς ἐκαλοῦντο οἱ δοῦλοι, ὡς καὶ παρὰ τοῖς Μανιάταις καλοῦνται εἰσέτι οἱ ἀχαμνόμεροι καὶ δὴ οἱ φαμέγιοι καὶ γενικώτερον οἱ ἱκέται. Ἐντεῦθεν, ὑποθέτω, προῆλθε καὶ ἡ λέξις ψυχογυιός.

»καὶ δέδοικα μὴ κίνδυνος ἐκ τούτου μοι ἐπέλθη,
»καὶ μετ' αἰσχύνης θάνατον οἰκτρότατον ὀφλήσω,
»ὡς ἐχθρὸς καὶ ἐπίβουλος καὶ ἐχθρὸς γεγονώς σου· 35α
»πείθει με γὰρ τὸ συνειδὸς τηρεῖν τὰ ἐναντία,
»καὶ τὴν ὄψιν ἐρυθριῶ ἰδεῖν τῆς στρατηγίσσης·
»ἐγώ, κύριε μου πενθερέ, ἐπιθυμίαν εἶχον
»τὴν θυγατέρα σου λαβεῖν διὰ τὸ ταύτης κάλλος,
»οὐχὶ δὲ πλούτου εἵνεκα ἢ διὰ τῶν κτημάτων·
»ταῦτα πάντα χαρίζομαι τοῖς γυναικαδελφοῖς μου·
»ἀρκοῦν ἐμοὶ τὰ κάλλη της ἀντὶ πολλῶν προικίων,
»πλοῦτον παρέχει ὁ Θεὸς καὶ πενίαν ὡσαύτως,
»καὶ ταπεινοῖ καὶ ἀνυψοῖ, κατάγει καὶ ἀνάγει.
[§ 292] »Ὑπὲρ δὲ τοῦ ὑποστραφῆν, οὐ μή σε παρακούσω,
»ἀλλ' ἂς ἀπέλθω πρότερον εἰς τὴν ἐμὴν μητέρα,
»ἵν' ἴδῃ ὁ ἐμὸς πατὴρ νύμφην ἣν θέλει ἔχειν
»καὶ δοξάσῃ τὸν Θεὸν καὶ ταχὺ ὑποστρέφω·
»ἀλλὰ μὴ τοῦτο λυπηθῇς, ὑπερεύχου δὲ μᾶλλον,
»τέκνα σου γὰρ τυγχάνομεν καὶ δοῦλοι τῆς ψυχῆς σου».
Καὶ θαυμάσας ὁ στρατηγὸς τὴν σύνεσιν τοῦ νέου·
«Ὁ Θεός, ἔφη, τέκνον μου, ἵνα σε εὐλογήσῃ
»καὶ ἀξιώσῃ χαίρεσθαι τὰ ἔτη τῆς ζωῆς σου!»
Καὶ ἀσπασάμενος αὐτὸν ἐπέβηκε τοῦ ἵππου
καὶ εἰς τὴν κόρην μὲν αὐτός, στρατηγὸς δὲ ἐν οἴκῳ,
συνοδοιπόρους τοὺς υἱοὺς ἐκ τοῦ πώματος ἔχων,
σφόδρα ὑπερθαυμάζοντες τὴν τοῦ παιδὸς ἀνδρείαν.
[§ 293] Ὁ δέ γε ὄντως θαυμαστὸς ἐκεῖνος νεανίας
ἐν τῷ τόπῳ καταλαβὼν ἔνθα ἦτον ἡ κόρη·
«Δεῦρο, γλυκύτατόν μου φῶς, ἐξεφώνησε λέγων,
»δεῦρο, ἄνθος γλυκύτατον, ῥόδον μεμυρισμένον,
»δεῦρο, δάμαλις ἣ ἐμὴ ἣν ἔζευξεν ὁ ἔρως, 36α
»τὴν ὁδὸν διανύσωμεν, οὐδεὶς γὰρ ὁ κωλύων,
»δρόμον οὐδείς, πανεύμορφε, ἐστὶν ὁ ἐμποδίζων,
»μόνον πατρὸς καὶ ἀδελφῶν τῶν σῶν περισωθέντων·
»οὐ γὰρ τὸ πρόσταγμα τὸ σὸν ἠθέλησ' ἀθετῆσαι».
Καὶ ἐκ τοῦ δένδρου παρευθὺς κατελθοῦσα ἡ κόρη,
χαρᾶς καὶ ἡδονῆς πολλῆς ὑποπλησθεῖσα λίαν,
περιπατοῦσα γαληνὰ τὸν ἄγουρον ὑπήντα
καί, πλησίον γενόμενοι, μετὰ πόθου ἠρώτα·
«Πάντως οὐδὲν ἐνάντιον συνέβη σοι, ψυχή μου,
»ἀνάγγειλόν μοι τάχιον περὶ τῶν ἀδελφῶν μου».
[§ 294] «Μὴ θλίβεσαι, ψυχίτζα μου, ὁ ἄγουρος ἀντέφη,
»ἐκτὸς γὰρ τῶν ἐπαινετῶν ἀγούρων τοῦ πατρός σου,

»οὐδεὶς ὑπέστη μερικῶς οὔτε καθόλου βλάβην».
Καὶ κύψας εἵλκυσεν αὐτὴν ἐπάνω ἐν τῷ ἵππῳ,
καὶ ὑποδέχεται αὐτὴν ἐν τῷ ἰδίῳ ἵππῳ,
φιλήματός τε καθαροῦ ἡδέως κορεσθέντες
καὶ χαίροντες διώδευον μεθ' ἡδονῆς μεγάλης.
[§ 296] Καὶ ὡς ἐσκέψαντο αὐτὸν οἱ βίγλαι τοῦ πατρός του
ἐν ταῖς ἀγκάλαις φέροντα, τὴν ῥοδόμορφον κόρην,
μετὰ σπουδῆς ἀπέτρεχον εἰπεῖν τὰ συγχαρίκια.
Ὡς δὲ ἤκουσεν ὁ πατὴρ τὴν τούτου ἔλευσιν ὅλως,
πλήρης γενόμενος χαρᾶς εὐθὺς καβαλλικεύει,
οἱ πέντε γυναικάδελφοι, τρισχίλιοι ἀγοῦροι.
[§ 297] Δώδεκα σελλοχάλινα ἔστρωσαν γυναικεῖα,
δύο ὑπῆρχον χυμευτὰ μετὰ μαργαριτάρων
καὶ τὰ λοιπὰ ὁλόχρυσα μάλιστα μετὰ ζῴων·
πέπλα δὲ εἶχον ἅπασαι αἱ σέλλαι παγκαλλίστως· 36β
βλαττία ἦσαν σκεπαστοὶ οἱ ἵπποι πάντες μάλα
ὑπ' αὐτῶν καλυπτόμενοι καὶ τοῦ πολλοῦ χρυσίου·
ὄπισθεν τούτων σάλπιγγες καὶ βούκινα βαρέα,
τύμπανά τε καὶ ὄργανα ἐκρούοντο εἰς ἄκρον,
καὶ ἦν ἦχος ἐξάκουστος ἐν ἐκείνῃ τῇ ὥρᾳ·
ὡς ἄχρι τρία μίλλια τοῦ οἴκου προσελθόντες,
οὕσπερ ἰδοῦσα μήκοθεν ἡ πανώραιος κόρη,
σύντρομος ὅλη γέγονε τοὺς ὄντας ἀγνοοῦσα.
[§ 298] Καὶ πρὸς τὸν παῖδα ἔφησε λίαν συντετριμμένη·
«Ἐὰν ξένοι τυγχάνωσιν, ἡμᾶς ἀποχωρίσουν».
«Μὴ φοβοῦ, φῶς μου τὸ γλυκύ, ὁ νέος ἀπεκρίθη,
»αὐτὸς ὁ πενθερός σου ἔνι, διὰ σὲ ἐκοπώθη».
[§ 299] Πάλιν τὸ ἡλιογέννημα τὸν ἄγουρον ἀντέφη·
«Ἐντρέπομαι, ψυχίτζα μου, δι' οὗ μόνη τυγχάνω·
»εἰ τοῦ πατρός μου ἤκουσας καὶ μετ' ἐμοῦ ἐστράφης,
»ἄρτι νὰ εἶχον τὰς βάγιας μου καὶ τὴν ἐξόπλισίν μου,
»νὰ ἐγίνωσκε καὶ ὁ σὸς πατὴρ τίνος παιδὶν ἐπῆρες·
»ἀλλ' ὅμως ὡς τὸ ἐδίκησας, ἀπολογίας ἔχε».

787 ἀπέτρεχεν—810 καὶ τὴν ἐξόμπλισίν μου,—

795. Περὶ βλαττίων βλέπε ὑποσημ. Α 1191, Α 1551 καὶ Α 2257. Βλέπε καὶ ἐν Κδ 237.
797. βούκινα=σάλπιγγες ἐκ κέρατος. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 2196 καὶ Εὑρετήριον α' τόμου. Βλέπε καὶ ἐν Κδ 827.
807. ἡλιογέννημα. Βλέπε σχετικῶς ὑποσημ. Κδ 350, Κστ 134, Α 1757, Α 1763, Α 2084, ὡς καὶ ἐν τοῖς Εὑρετηρίοις ἀμφοτέρων τῶν τόμων ἐν λ. ἡλιογέννητος, ἡλιογέννημα καὶ ἡλίου φέγγος.

[§ 300] «Μὴ λυπεῖσαι, πανεύγενε, διὰ τὴν μοναξίαν,
»σὲ γὰρ πάντες γινώσκουσι κἂν καὶ μόνη τυγχάνεις,
»καὶ τούτου μέμψις ἕνεκα ὑπάρχει οὐδεμία».
[§ 301] Ὅτε δὲ ἐπλησίασαν, χαιρετίζουν ἀλλήλους·
ἐπέζευσεν ὁ νεώτερος μετὰ τῆς ποθητῆς του,
ἐπέζευσε καὶ ὁ Ἀμηρᾶς, ἠσπάσατο τοὺς δύο·
«Ὁ Θεός, ἔφη, τέκνον μου, ἵνα σας εὐλογήσῃ,
»αὐξήσῃ καὶ τὰ ἔτη σου ἐν εἰρήνῃ καὶ πλούτῳ, 37α
»καὶ βασιλείας τῆς αὐτοῦ ἐπιδείξῃ μετόχους!»
[§ 302] Εἰς δὲ σέλλαν τὴν χυμευτὴν καθίσαντες τὴν κόρην,
καὶ πολύτιμον στέφανον αὐτῇ περιβαλόντες,
καὶ ἕκαστος τῶν συγγενῶν τῶν ἐκεῖ εὑρεθέντων
δῶρα αὐτῇ προσήνεγκαν ὑπέρτιμα τῷ ὄντι·
καί, τὸν παῖδα κοσμήσαντες ὡς ἔπρεπε τῷ νέῳ,
τὰ βούκινα ἐδώκασιν, ὑπέστρεφον εὐθέως,
ἠλάλαζον αἱ σάλπιγγες, τὰ τύμπανα ἐφώνουν,
ἐκρούοντο τὰ ὄργανα, ἐμελῴδουν τὰ πάντα·
κιθάραι ἦχον ἔπεμπον καὶ πᾶν μουσικὸν εἶδος,
ᾀδόμενα ὑπέστρεφον ἐν τῷ οἴκῳ συντόμως.
[§ 303] Χαρὰν τὴν ὑπερβάλλουσαν τὴν γιναμένην τότε
τίς ἑρμηνεῦσαι δυνηθῇ ἢ εἰπεῖν ἐξισχύσει;
Ἐδόκουν γὰρ ὡς καὶ ἡ γῆ ἐν ᾗ περιεπάτουν
καὶ αὐτὴ συνετέρπετο περιπατούντων πάντων,
καὶ πᾶς ὅστις ἐτύγχανεν εἰς τὴν χαρὰν ἐκείνην
ἄλλος ἐξ ἄλλου γέγονεν ἀπὸ τῆς θυμηδίας·
τὰ βουνία ἐσκίρτιζον, ἐχόρευον αἱ πέτραι,
ἀνέβλυζον οἱ ποταμοί, ἠγάλλοντο τὰ δένδρα,
ὁ ἀὴρ ἐφαιδρύνετο ἐν τῇ χαρᾷ ἐκείνῃ.
[§ 304] Ὡς δὲ τοῦ οἴκου ἔμελλον, ἀπάρτι πλησιάσαι,

827 βύκινα—829 ἐκρόουντο τὸ ὄργανα,—

827. Περὶ βουκίνων βλέπε ὑποσημ. Κδ 797.
838. ἐχόρευον αἱ πέτραι. Πρβλ. ἀντιστοίχως Α 2241 (1377): αἱ πέτραι ἀηδονοῦσαν. Παρατηρητέον ἐπὶ τῇ εὐκαιρίᾳ ταύτῃ ὅτι ἡ ἐν Etudes de Philologie Néo Grecque τοῦ Ψυχάρη καὶ ἐν Fascicule 92 τῆς Bibliothèque de l' Ecole des Hautes Etudes, Παρίσιοι 1892, δημοσιευθεῖσα μελέτη τοῦ John Schmitt, ἐν ᾗ σχετίζεται τὸ ἀνωτέρω παράδειγμα: «αἱ πέτραι ἀηδονοῦσαν» πρὸς τὰ «ἀηδονικὰ ἐτραγῴδει» τοῦ Α 1838 (1249) καὶ πρὸς τὰ ῥήματα κελαηδῶ καὶ ἀηδονολαλῶ, στερεῖται βάσεως. Ἡ ὀρθὴ ἐτυμολογία εἶναι ἐκ τοῦ ἀντιδονῶ, λέγεται δὲ ἐν Μάνῃ ἐπὶ λίθων ριπτομένων διὰ σφενδόνης καὶ ἠχούντων χαρακτηριστικῶς: οἱ πέτρες ἀηδονίζουσι ὄντες τισὲ ρίχνουσι μὲ τὴ σποντέναν». Πρόκειται προφανῶς περὶ παραμορφώσεως τοῦ ῥήματος ἀντιδονῶ εἰς ἀηδονίζω ὀφειλομένης εἰς παρετυμολογίαν.

πλῆθος ἄπειρον γυναικῶν αὐτοῖς συναπαντῶσιν·
ἦν γὰρ καὶ ἡ στρατήγισσα πρὸς ἀπαντὴν τῶν νέων,
καὶ σὺν αὐτῇ ἡ πάντερπνος μήτηρ ἡ τοῦ Ἀκρίτου,
οἰκέτιδές τε εὐπρεπεῖς λαμπρῶς ἠγλαϊσμέναι,
αἱ μὲν ἄνθη κατέχουσαι ῥόδα τε καὶ μυρσίνας 37β
τὸν ἀέρα μυρίζουσαι ὀσμαὶ θυμιαμάτων·
ἕτεραι χειροκύμβαλα ἔκρουον μελῳδοῦσαι
μέλος λίαν ἥδύτατον, ἐπαινοῦσαι τὸν παῖδα
καὶ τὴν παρθένον μετ' αὐτοῦ καὶ γονεῖς ἀμφοτέρων·
ἔδαφος ἐπανέστρωτο μυρσίνας τε καὶ δάφνας,
ῥόδα ναρκίσσους καὶ πολλὰ εὐωδέστατα ἄνθη.
Ἡ πενθερὰ τὴν ἑαυτῆς κατησπάζετο νύμφην,
ἔργα αὐτῆς ἐξαίρετα φιλοτίμως παρέχει,
καὶ ἦν ἄπληστος ἡδονὴ καὶ μεγίστη τερπνότης.
[§ 305] Εἰς δὲ τὸν οἶκον φθάσαντες, ὁ Ἀμηρᾶς εὐθέως
γυναικαδελφοὺς τοὺς ἑαυτοῦ καὶ στρατὸν οὐκ ὀλίγον
συναριθμήσας ἔστειλε τρισχιλίους ἀγούρους
νὰ εἴπωσι τὸν στρατηγὸν ἵν' ἔλθῃ εἰς τοὺς γάμους.
[✱] «Κέλευσον, ὦ συμπενθερέ, τοῦ ἐλθεῖν εἰς τοὺς γάμους,
»οὓς ὁ Θεὸς ἡτοίμασεν, ἡμῶν μὴ βουλομένων».
[§ 306] Ὡς δὲ καὶ τούτων ἤκουσεν μὴ ἀμελήσας ὅλως,
ἅπαντα ἅπερ εἰς τιμὴν τῶν φιλτάτων προσῆκον
μεθ' ἑαυτοῦ παραλαβὼν ἀνείκαστόν τε πλῆθος
τῇ ἑξῆς ἐπορεύετο μετὰ τῆς στρατηγίσσης.
[✱] Οὐδὲν γὰρ εἶχον τι λέγειν ἢ ποσῶς ἀμφιβάλλειν,
οἵου γαμβροῦ τετύχηκαν γεγονότες ἐν γνώσει·
σὺν προθυμίᾳ τὸ λοιπὸν καὶ χαρμονῇ μεγίστῃ
τὴν ὁδὸν μᾶλλον ἤνυον ᾄδοντες τὰ τοῦ γάμου
καὶ οἱ τῆς κόρης ἀδελφοὶ μετὰ τῶν συμπαρόντων.
Ἄφιξιν δὲ τὴν ἑαυτῶν ὁ τοῦ παιδὸς ἀκούσας
πατὴρ πρὸς ὑπαντὴν καλὴν μετὰ λαοῦ ἐξῆλθε·
βουλόμενος δ' ὁ θαυμαστὸς κατελθεῖν ἐκ τοῦ ἵππου 38α
ὁ στρατηγὸς ἐκώλυσεν ἑαυτὸν ἐξορκίσας·

860. Κέλευσον=εὐαρεστήθητι, καλῶς νὰ ὁρίσῃς. Φράσις φιλοφροσύνης καθιερωμένη ἐν τῇ ἐθιμοτυπίᾳ τῆς αὐτοκρ. αὐλῆς, ἔνθα ἀνώτερος ἀξιωματοῦχος, ὁ πραιπόσιτος, ἢ ὁ σιλεντιάριος ἀπὸ κελεύσεως, ἢ ἕτερος ὀφφικιάλιος τῆς καταστάσεως ἀνεφώνει τὴν τυπικὴν φράσιν: «Κελεύσατε» ἀπαραίτητον πρὸς ἔναρξιν τῶν διατυπώσεων καθ' ἑκάστην ἑορτήν. Βλέπε σχετικῶς Κωνσταντίνου Ζ' Πορφυρογεννήτου, Ἔκθεσις τῆς βασιλείου τάξεως, ἐκδ. Vogt, τόμ. α', σελ. 19 στίχ. 30, σελ. 66, στίχ. 24, σελ. 90 στιχ. 18 κλπ. Πρβλ. περαιτέρω διαφορὰς πρὸς Α 2250 ἑξ.


ἀλλήλους τε ὡς ἔπρεπεν ἀσπασάμενοι μάλα
ἐπὶ τὸν οἶκον ἔσπευδον καὶ ὀλίγον προβάντων
πεζοπόροι ἠπήντησαν ἀναρίθμητον πλῆθος,
καὶ μετ' ἐκείνους ἕτεροι σύστημα οἰκετίδων·
τοῦ οἴκου δὲ τὰ σύνορα καταλαβόντες ἤδη
μετὰ κόσμου τοῦ πρέποντος πλήθους θυμιαμάτων
ροδόσταμμα καὶ τῶν λοιπῶν παντοίων μυρισμάτων·
ταῦτα ἡ μήτηρ τοῦ παιδὸς ἤγαγεν ἡ ὡραία.
[✱] Τὰ δὲ ἐντεῦθεν ποῖος νοῦς φράσαι ὅλως ἰσχύει;
τὴν θαυμαστὴν ὑποδοχὴν τοῦ 'Αμηρᾶ ἐκείνην,
τὴν καλὴν συναναστροφὴν τῆς ἑαυτοῦ συζύγου,
εὐωχίαν τὴν εὔτακτον καὶ ἁρμόδιον τάξιν,
ἐδεσμάτων τὴν ἄπειρον πολυποίκιλον θέαν,
τὴν ἐκ πάντων παράθεσιν ζῴων ἀναριθμήτων;
τῶν μίμων τὰς μεταβολάς, αὐλητῶν μελῳδίας,
χορευτρίων λιγύσματα, ποδῶν τὰς μεταβάσεις,
τῶν χορῶν τὸ ἐνήδονον καὶ ξένην μελῳδίαν;
κάλλος γὰρ εἶχον ἅπαντα, τέρψιν ἄλλο πρὸς ἄλλο.
[✱] Προικὸς δὲ τὰ συμβόλαια τῇ ἑξῆς πληρωθέντα,
τὰ ἐν αὐτοῖς ἀδύνατον κατ' ἔπος ἐξιέναι,
ἅπερ δὲ οὐ συνέθεντο ἀμφότεροι τοῖς τέκνοις
καλῶς τε καὶ τὰ κτήματα εὐαρίθμητα ὄντα
μὴ λέξαι ἐξ ὀνόματος ἀπρεπέστατον ἔστιν
τῶν τε ζῴων τὸν ἀριθμὸν καὶ τῶν λοιπῶν πραγμάτων.
[§ 306] Δέδωκε μὲν ὁ στρατηγὸς ἵππους δώδεκα μαύρους,
τερπνὰ φαρία δώδεκα εὐμορφότατα λίαν, 58β
δώδεκα μούλας ἐκλεκτὰς μετὰ σελλοχαλίνων
ἀργυρῶν τε καὶ χυμευτῶν, ἔργων ἀξιεπαίνων·
οἰκέτας νέους δώδεκα, στράτορας χρυσοζώνους,
δώδεκα παρδοκυνηγοὺς λίαν δοκιμωτάτους,
χιονίδας ἱέρακας δώδεκα 'Αβασγίας,

875 ἀσπασάμενος μάλα—881 ροδοστάμματα—

902. ἀργυρῶν τε καὶ χυμευτῶν. Βλέπε κατωτέρω Κδ 907 καὶ ταυτάριθμ. ὑποσημ.

904. παρδοκυνηγούς. Πάρδους ἤτοι λεοπαρδάλεις τιθασσευμένας ἐχρησιμοποίουν οἱ Βυζαντινοὶ διὰ τὸ κυνήγιον. Ταύτας διηύθυνον οἱ εἰδικοὶ παρδοκυνηγοί, ὅπως τοὺς ἱέρακας οἱ ἱερακάριοι οἱ γερακάρηδες. Βλέπε σχετικῶς ἀντιστοιχ. χωρίον ἐν Α 2260 καὶ ταυτάριθμ. ὑποσημ., ὡς καὶ εἰκόνα παρδοκυνηγοῦ καὶ πάνθηρος ἐν σελ. 81 τοῦ α' τόμου τοῦ παρόντος ἔργου.


905 ἑξ. Περὶ ἱεράκων καὶ χρησιμοποιήσεως αὐτῶν εἰς τὸ κυνήγιον, πλὴν τοῦ ἀντιστοίχου τῷ παρόντι χωρίου ἐν Α 2259, βλέπε καὶ ἐν Α 1410 καὶ ταυτάριθμ. ὑποσημ. 'Ο κοινὸς ἱέραξ (falco communis) εἶναι χρώματος




Βιβάριον καὶ Τέμενος τῆς 'Οσροηνῆς 'Εδέσσης (Κάστρον Ροχάβ).



'Η 'Αγία Σοφία. 'Ανατολικὴ πλευρά.


Ὁ κρεμασμένος λίθος εἰς τὸ ἐσωτερικὸν τοῦ τεμένους τοῦ Ὀμάρ. Ἱερουσαλήμ.


Ἡ Ἀμάσσεια τῆς Καππαδοκίας.

φαλκωνάρια δώδεκα καὶ φάλκωνας ὡσαύτως·
εἰκόνας δύο χυμευτὰς ἁγίων Θεοδώρων,
καὶ τένδαν χρυσοκέντητον, ὡραίαν, παμμεγέθη,
ζῴων ἔχουσαν συγκοπὰς πολυμόρφους ἰδέας,
τὰ σχοινία μεταξωτά, ἀργυροὶ δὲ οἱ πάλοι,
κοντάρια κυπρίζοντα ἀραβίτικα δύο,
καὶ τοῦ Χοσρόου τὸ σπαθὶν τὸ διαφημισμένον.
[§ 307] Καὶ ταῦτα μὲν ὁ στρατηγὸς χαρίσματα παρέσχε
γαμβρὸν αὐτοῦ τὸν Διγενῆ ὁ δ' Ἀμηρᾶς ὡσαύτως
θεώρετρον πολύτιμον παρέδωκε τῇ κόρῃ·

907 εἰκόνας δύο χυτάς—

φαιοῦ μὲ μελανὰς κηλῖδας καὶ πυρρόξανθος ἢ τεφροπυρρὸς εἰς τὰ κάτω μέρη. Ὁ λευκὸς ἱέραξ ἀπαντᾷ σήμερον εἰς τὰς ἀκτὰς τῆς δυτικῆς Εὐρώπης. Ἄριστοι διὰ τὸ κυνήγιον ἐθεωροῦντο κατὰ τοὺς μ. χρόνους οἱ ἱέρακες τῆς Ἀβασγίας, χώρας τοῦ Καυκάσου παρὰ τὴν σημερινὴν Γεωργίαν. Φαλκωνάρια ἐκαλοῦντο οἱ μικροὶ ἱέρακες (falco minor), φάλκωνες δὲ οἱ κοινοὶ ἱέρακες.

907. εἰκόνας χυμευτάς. Πρόκειται περὶ πολυτίμων εἰκόνων ἐσμαλτωμένων. Οἱ ὅροι χύμευσις, χυμευτής, χυμευτὸς ἀπαντῶσι συνηθέστατα παρὰ τοῖς βυζ. συγγρ. κυρίως ὑπὸ τὴν ἐκδοχὴν τῆς σμαλτώσεως εἰκόνων καὶ ἄλλων πολυτίμων ἀντικειμένων. Βλέπε σχετικῶς Κωνστ. Ἀμάντου, Γλωσσικαὶ παρατηρήσεις εἰς μεσαιων. συγγραφεῖς. Παναγία χυμευτή, ἐν Ἐπετ. Βυζ. Σπουδ. Β', σελ. 281-282. Μ. Στεφανίδου, Μουσικὴ καὶ Χρυσοποιΐα κατὰ τοὺς Βυζ. χυμευτὰς ἐν Ἐπετ. Βυζ. Σπουδ. Δ', σελ. 39-45, τοῦ αὐτοῦ Περσικὴ καὶ Βυζαντιακὴ Βιοτεχνία, ἐν Ἐπετ. Βυζ. Σπουδ. ΣΤ', σελ. 282-285, Λάμπρου, Διορθώσεις εἰς τὸ ποίημα τοῦ Μελιτηνιώτου εἰς Σωφροσύνην ἐν Ν. Ἑλληνομν. ΙΒ', σελ. 22-23. Κατὰ συνεκδοχὴν οἱ ἀνωτέρω ὅροι ἀπαντῶσι καὶ προκειμένου περὶ ὑφασμάτων ὁπότε ἀναφέρονται εἰς τὴν διακόσμησιν αὐτῶν διὰ χρυσοῦ (χρυσοῦφαντα καὶ χρυσοποίκιλτα ὑφάσματα). Βλέπε σχετικῶς ἐν Α 1215 καὶ Α 2262. Περὶ εἰκόνων ἢ ἄλλων πολυτίμων ἀντικειμένων ἐσμαλτωμένων βλέπε ἐν Α (1121) Α 1559, Α 3989 καὶ ἀντίστοιχον τῷ παρόντι χωρίον Α 2266 (1402) παραλλαγὴν Τ καὶ ὑποσημ. Α 2266 ἑξ. Βλέπε ὡσαύτως ἐν Charles Diehl, Manuel d' art byzantin, Παρίσιοι 1925, σελ. 305 ἑξ., 375-376, 679, 686-710, λεπτομερείας περὶ τοῦ κλάδου τούτου, εἰς τὸν ὁποῖον οἱ βυζαντινοὶ καλλιτέχναι διέπρεψαν. Πρβλ. καὶ ἐν τοῖς Εὑρετηρίοις τοῦ παρόντος ἔργου λ. χυμευτός.

911. κοντάρια κυπρίζοντα = κοντάρια χαλκᾶ χρώματος πρασίνου, τὸ ὁποῖον ἔλαβον διὰ καταλλήλου εἰδικῆς ὀξυδώσεως. Περὶ ἐξωτερικῆς βαφῆς τῶν μετάλλων βλέπε καὶ μελέτην Μ. Στεφανίδου, Περσικὴ καὶ Βυζαντιακὴ βιοτεχνία ἐν Ἐπετηρ. Βυζ. Σπουδ. ΣΤ', σελ. 283 Βλέπε σχετικῶς καὶ ὑποσημ. Α 2499.

912. Περὶ Χοσρόου βλέπε ἐν ἀντιστοιχ. τῷ παρόντι χωρίῳ Α 2269 καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.

915. Περὶ θεωρέτρου βλέπε ἐν ἀντιστοιχ. τῷ παρόντι χωρίῳ Α 2278 καὶ ταυτάριθμ. ὑποσημ. Τὸ θεώρετρον ἐδίδετο συνήθως ὑπὸ τοῦ πατρὸς τοῦ γαμβροῦ. Βαθμηδὸν ἐπεκράτησε νὰ ὀνομάζεται οὕτω τὸ δῶρον τὸ ὁποῖον προσέφερεν ὁ νυμφίος ἢ ὁ πατήρ του εἰς τὴν νύμφην, ὅταν διὰ πρώτην φορὰν ἀντίκρυζεν αὐτὴν ἐπισήμως ἀκάλυπτον, τὸ λεγόμενον σήμερον «ξεμπουμπούλωμα τῆς νύφης».

ὁμοίως καὶ ἡ στρατήγισσα ἡ μάμμη τοῦ 'Ακρίτου·
οἱ πέντε γυναικάδελφοι καὶ συγγενεῖς οἱ ἄλλοι
μαργαριτάριν ἄπειρον, χρυσίον καὶ λιθάριν,
καὶ βλαττία πολύτιμα ἄπειρα καὶ ὀξέα·
ἡ δέ γε τούτου πενθερὰ παρέδωκεν ὡσαύτως
πράσινον λευκοτρίβλαττον καὶ ζώνας πολυτίμους,
τέσσαρα χρυσογράμμωτα φακεόλια ἄσπρα,
καββάδιν τε χρυσοφυὲς ὄπισθεν γρύψους ἔχον·
ὁ πρῶτος γυναικαδελφὸς δέδωκε δέκα νέους
ἀσκευάστους καὶ εὐειδεῖς καὶ τῇ κόμῃ ὡραίους,
ἠμφιεσμένους περσικὴν στολὴν ἀπὸ βλαττίου 39α
καὶ χρυσομάνικα καλὰ εἰς τοὺς αὐτῶν τραχήλους·
θάτερος γυναικαδελφὸς σκουτάριν καὶ κοντάριν·
ἄλλοι δὲ τούτου συγγενεῖς ἔδωκαν ἄλλα πλεῖστα,
ὧν οὐκ ἐξὸν ἀπαριθμεῖν τὸ εἶδος τῶν πραγμάτων.
[§ 308] Καὶ τρεῖς μῆνας ἐποίησε τελούμενος ὁ γάμος,
ἡ δὲ χαρὰ οὐκ ἔληγεν ἡ πάνδημος ἐκείνη.
[§ 309 ✱] Μετὰ δὲ τὸ συντελεσθῆν τὸν τριμηναῖον γάμον,
παραλαβὼν ὁ στρατηγὸς πάντας τοὺς συμπενθέρους
καὶ τὸν γαμβρὸν τὸν ἴδιον, ἦλθεν εἰς τὴν οἰκίαν
καὶ γάμος ἄλλος γέγονεν φαιδρότερος τοῦ πρώτου.
'Ηγάλλετο ὁ στρατηγὸς τοῦ παιδὸς ὡς ἑώρα
τὴν εὔτακτον κατάστασιν, τὴν νουνεχῆ ἀνδρείαν,
τῶν ἠθῶν τὴν πραότητα καὶ λοιπὴν εὐκοσμίαν·
ἡ στρατήγισσα ἔχαιρε καθορῶσα τὸ κάλλος
καὶ τὴν αὐτοῦ πανευπρεπῆ καὶ ξένην ἡλικίαν·
οἱ τούτου γυναικαδελφοὶ ἐπισκέπτοντες σφόδρα
οἱ ταῖς αὐτῶν καυχώμενοι ἀεὶ ἀνδραγαθίαις,
καὶ δόξα τῷ μόνῳ ἀγαθῷ ἐπιτελοῦντι ἔργον.
'Εν γὰρ ταῖς διοικήσεσι τῶν μεγίστων πραγμάτων

922 χρυσογράμματα—923 καββάδην τε χρυσοφυῆ—

919. Περὶ βλαττίων βλέπε παραπομπὰς ἐν τοῖς Εὑρετηρίοις ἀμφοτέρων τῶν τόμων τοῦ παρόντος ἔργου, λέξ. βλαττίν. 'Οξέα ἦσαν τὰ πολύτιμα ὑφάσματα χρώματος ἰώδους. Τὸ ἰῶδες χρῶμα ἐθεωρεῖτο ἐξαιρετικῆς πολυτελείας καὶ ἦτο ἀποκλειστικῆς χρήσεως διὰ τοὺς ἄρχοντας.
922 Περὶ φακεολίου βλέπε ἐν Κγ 260, Α 1211 καὶ Α 3545, ὡς καὶ ἐν Εὑρετηρίοις ἀμφοτέρων τῶν τόμων τοῦ παρόντος ἔργου.
923. καββάδης καὶ καββάδιν ἐκαλεῖτο παρὰ τοῖς βυζαντινοῖς στρατιωτικὸν ἔνδυμα, περσικῆς προελεύσεως, ἐν εἴδει πλατέος καὶ μακροῦ ἐπενδύτου
931. Βλέπε σχετικῶς ἀντίστοιχ. τῷ παρόντι χωρίον ἐν Α 2285 ἑξ. καὶ ὑποσημ. Α 2282 ἑξ.
933 Πρβλ. διαφορὰς ἐν Α 2292 ἑξ.

ὁ Θεὸς συνεισέρχεται, καὶ μηδεὶς ἀπιστείτω·
εὐλόγως τοίνυν πρὸς Θεὸν ἀναπέμψωμεν χάριν,
αὐτὸς γὰρ πάντων ὁ δοτὴρ τῶν ἀγαθῶν ὑπάρχει.
'Εκεῖσε τοίνυν ἱκανὰς ποιήσαντες ἡμέρας,
ὁ 'Αμηρᾶς ὑπέστρεψεν ἐν τῷ ἰδίῳ οἴκῳ,
καὶ μετ' αὐτοῦ ὁ Διγενὴς καὶ ἡ τούτου φιλτάτη
μεγίστης προσελεύσεως γεναμένης καὶ αὖθις.
[§ 310-311] Εἶθ' οὕτως λίαν δόκιμος ἀποφανθεὶς ὁ νέος 39β
γέγονε δὲ περίφημος ἐν ταῖς ἀνδραγαθίαις,
ὥστε σχεδὸν εἰς ἅπαντα βεβαιωθεὶς τὸν κόσμον·
καὶ μόνος ᾑρετίσατο διάγειν εἰς τὰς ἄκρας,
τὴν κόρην φέρων σὺν αὐτῷ καὶ ἰδίους οἰκέτας.
[§ 312] Πόθον γὰρ εἶχεν ἄπειρον τοῦ μόνος συνδιάγειν
καὶ τοῦ μόνος περιπατεῖν δίχα τινὸς ἑταίρου.
῞Ενθα γὰρ ἐπορεύετο, τένδαν εἶχεν ἰδίαν,
εἰς ἣν ἡ κόρη καὶ αὐτὸς συνεδίαγον μόνοι·
καὶ τένδαν ἄλλην εἴχασιν αἱ βάγιαι αἱ δύο,
ἑτέραν δὲ οἱ θαυμαστοὶ ἀγοῦροι τοῦ 'Ακρίτου,
ἐκ διαστήματος πολλοῦ ἀπέχοντες ἀλλήλοις.
[§ 314] Πολλοὶ δὲ τῶν ἀπελατῶν τοῦτο ἀναμαθόντες
συμβούλιον ἐποίησαν τὴν κόρην ἀφαρπάσαι·
καὶ πάντας συναπέκτεινε καθυποτάσσων τούτους,
ὅπως τε κατεπτόησε πᾶσαν τὴν Βαβυλῶνα,
Ταρσὸν ὁμοῦ καὶ τὸν Βαγδᾶ, τοὺς Μαυροχιονίτας,
καὶ ἄλλα μέρη ἱκανὰ τῶν δεινῶν Αἰθιόπων.
[§ 315] Ταῦτα τὰ κατορθώματα ὁ βασιλεὺς ἀκούσας
ὁ τηνικαῦτα τὴν ἀρχὴν τοῖς 'Ρωμαίοις διέπων,
Βασίλειος ὁ εὐτυχὴς καὶ μέγας τροπαιοῦχος,

959 δίχα τινὸς ἑτέρου.—971 Ταῦτα τοίνυν τὰ κατορθώματα—

969 Μαυροχιονῖται. Πρβλ. στιχ. Κδ 205, ἔνθα ἀναφέρονται οἱ Μαυρονῖται. Πρβλ. ὡσαύτως καὶ Α 4636, ἔνθα μνημονεύονται οἱ Μαυριωροί. Πρόκειται περὶ πληθυσμῶν κατοικούντων παρὰ τὸν Ταῦρον. Τὸ ὄρος τοῦτο ἐκαλεῖτο ἄλλοτε καὶ Μαῦρον ὄρος. Οἱ Μαυροχιονῖται ἢ Μαυριωροὶ κατὰ τὸν Καρολίδην εἶναι πάντως ὅλως διάφοροι τῶν Μαρωνιτῶν τοῦ Λιβάνου. Πρβλ. Καρολ. 241 - 242. Βαγδᾶς ὀνομάζεται ἡ Βαγδάτη.
973 ἑξ. «Βασίλειος ὁ εὐτυχὴς καὶ μέγας τροπαιοῦχος, ὁ καὶ συνθάψας μεθ' ἑαυτοῦ τὴν βασίλειον δόξαν». 'Ανάλογος φράσις ἀπαντᾷ καὶ εἰς τὸ κείμενον περὶ τοῦ βίου τῆς ἐκ Λέσβου Θεοκτίστης, ὅπερ ἐγράφη ὑπὸ τοῦ ἁγιογράφου Νικήτα Μαγίστρου κατὰ τὰς ἀρχὰς τοῦ 10ου αἰῶνος ἐπὶ Λέοντος τοῦ Σοφοῦ (886—912). Τὸ σχετικὸν χωρίον ἔχει ὡς ἑξῆς. «Γενομένῳ μοι ποτε κατὰ τὴν Πάρον, ἐγεγόνειν δὲ καὶ γὰρ ἐπὶ Κρήτην ἔπλεον ὑπὸ τοῦ μακαρίτου καὶ θεοσεβοῦς βασιλέως στελλόμενος τοῦ εὐτυχοῦς ὄντως καὶ τὴν εὐτυχίαν Ρωμαίων τῷ τάφῳ συνθάψαντος». Αἱ φράσεις αὗται ἀναφέρονται εἰς τὸν πατέρα τοῦ Λέοντος τοῦ Σοφοῦ αὐτοκρά-

ὁ καὶ συνθάψας μεθ' ἑαυτοῦ τὴν βασίλειον δόξαν,
ἔτυχε γὰρ μετὰ Περσῶν ποιῶν τὴν ἐκστρατείαν
ἐν ἐκείνοις τοῖς μέρεσιν ἐν οἷς ὁ παῖς διῆγεν,
καὶ μαθὼν τὰ περὶ αὐτοῦ ἐξεπλήττετο σφόδρα.
[§ 316] Ποθήσας οὖν κατὰ πολὺ θεάσασθαι τὸν νέον,
γραφὴν πρὸς αὐτὸν ἔστειλε περιέχουσαν τάδε· 40α
«Τὰ περὶ σοῦ, ὦ τέκνον μου, ἡ ἐμὴ βασιλεία
»μαθοῦσα κατορθώματα εὐφράνθημεν ἐν τούτοις,
»τῷ συνεργοῦντι σοι Θεῷ ἀναπέμποντες χάριν·
»ἐν ἐφέσει δὲ γεγόναμεν αὐτοψεὶ τοῦ ἰδεῖν σε,
»καὶ παρασχεῖν σοι ἀμοιβὰς τῶν σῶν ἔργων ἀξίας·
»ἐλθὲ τοίνυν ὡς πρὸς ἡμᾶς χαίρων ἀνενδοιάστως,

τορα Βασίλειον Α' Μακεδόνα, φαίνεται δὲ ὅτι ὁ ποιητὴς τοῦ 'Ακριτ. ἔπους τὰς ἀντέγραψε ὡς εἶχον ἐκ τοῦ ἔργου τοῦ ἁγιογράφου Νικήτα Μαγίστρου. 'Ανεξαρτήτως ὅμως τούτου τὸν βίον τῆς Θεοκτίστης ἀντέγραψεν ἐξ ὁλοκλήρου μεταγενεστέρως καὶ ὁ Συμεὼν Μεταφράστης, τὸ γεγονὸς δὲ τοῦτο εἶναι χαρακτηριστικῶς τυπικὸν τῆς διηνεκοῦς τάσεως τῶν Βυζαντινῶν λογίων νὰ ἀντιγράφουσι τὰ ἔργα τῶν παλαιοτέρων των λεηλατοῦντες κυριολεκτικῶς αὐτούς. Εἶναι γνωστὸν μάλιστα σήμερον ὅτι ἐξ ἀφορμῆς τῶν περὶ ὧν ὁ λόγος φράσεων, αἵτινες περιελαμβάνοντο καὶ εἰς τὸ ἀνωτέρω λογοκλόπημα, ἐδόθη διαταγὴ νὰ καοῦν τὰ ἔργα τοῦ Συμεὼν Μεταφράστου ὑπὸ τοῦ αὐτοκράτορος Βασιλείου Β' Βουλγαροκτόνου θεωρήσαντος τὰς ἀνωτέρω ἐκφράσεις ὡς προσβλητικὰς δι' αὐτὸν καὶ τὴν βασιλείαν του, τὸ γεγονὸς δὲ τοῦτο καὶ μόνον ἀποκλείει ἀπολύτως τὴν πιθανότητα ὅτι αἱ ἀνωτέρω φράσεις ἀναφέρονται εἰς τὸν Βασίλειον Β' Βουλγαροκτόνον. Τὸ χωρίον τοῦτο, τὸ ὁποῖον, ἐν ἀντιθέσει πρὸς τὸ ἀντίστοιχον αὐτῷ ἐν Α 2342 (1476) ἑξ., ἔνθα ἀναφέρεται ὁ βασιλεὺς Ρωμανός, διέσωσε τὴν αὐθεντικωτέραν παράδοσιν, εἶναι σπουδαιότατον, διότι ἀποτελεῖ terminus post quem, ἤτοι ἔνδειξιν ὅτι τὸ ἀρχικὸν κείμενον τοῦ ἔπους συνετάγη μετὰ τὴν συγγραφὴν τῆς βιογραφίας τῆς Θεοκτίστης, τουτέστι μετὰ τὸ ἔτος 912 μ.Χ. Περὶ τοῦ ἁγιογράφου Νικήτα Μαγίστρου, ὡς καὶ περὶ τοῦ Συμεὼν Μεταφράστου, βλέπε ἐν Κρουμβ. Α' 393,399,402—408. Βλέπε ὡσαύτως ἀπόψεις ἐν προκειμένῳ Grégoire ἐν Byzantion V 340, καὶ 756—757, VI 488—490. καὶ 495, VII 300, Κυριακίδου ἐν Λαογραφίας Ι' 624—625,651—654,657—658. Μνεία Βασιλέως Βασιλείου γίνεται καὶ ἐν τοῖς προηγουμένοις ἐν Κδ 55—56, ἔνθα προστίθενται τὰ κοσμητικὰ τοῦ «εὐτυχοῦς» καὶ τοῦ «'Ακρίτου τοῦ μεγάλου». Βλέπε σχετικῶς αὐτόθι, ὡς καὶ ταυτάριθμον ὑποσημ. Πρβλ. ὡσαύτως τὰ σχετικὰ χωρία ἐν Α 1368 ἑξ. καὶ Α 2342 ἑξ., ἔνθα ἀναφέρεται ἀντὶ τοῦ Βασιλείου, ὁ βασιλεὺς Ρωμανός, βλέπε δὲ καὶ τὰς ταυταρίθμ. ὑποσημ. αὐτόθι. Βλέπε ἐπίσης χωρίον ἐν Κγ 150 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. περὶ 'Αγ. Μανδηλίου, ἀποτελοῦν terminus ante quem, ἤτοι ἔνδειξιν ὅτι τὸ ἀρχικὸν κείμενον τοῦ Ἔπους συνετάγη πρὸ τοῦ ἔτους 944 μ.Χ. ὡς καὶ ἐν τῇ Γενικῇ Εἰσαγωγῇ τοῦ παρόντος ἔργου, τομ. α', σελ. κ' καὶ ὑποσημ. 25—26, σελ. κε' καὶ ὑποσημ. 53'—54, σελ. λε' καὶ ὑποσημ. 118. Βλέπε τέλος καὶ ἐν τῷ εἰσαγωγικῷ ὑπομνήματι τοῦ παρόντος τόμου, σελ. στ'-ζ' καὶ ὑποσημ.13-14 αὐτόθι.

975. Πέρσας ἐκάλουν οἱ συγγραφεῖς τῶν μ. χρόνων τοὺς Τούρκους. Πρόκειται ἴσως περὶ ἀναχρονισμοῦ ἐνταῦθα. Βλέπε σχετικῶς περαιτέρω ἐν Κδ 1043 καὶ ταυτάριθμ. ὑποσημ.

»μὴ ὑποπτεύων λυπηρὸν παρ' ἡμῶν ὑποστῆναι».
[§ 317] 'Ο δὲ ταύτην δεξάμενος ἀντιγραφὴν ἐκπέμπει·
«'Εγὼ μὲν δοῦλος ἔσχατος τοῦ σοῦ κράτους τυγχάνω,
»εἰ καὶ πάντων τῶν ἀγαθῶν ἀμέτοχος ὑπάρχω·
»ποῖον δέ, δέσποτα, ἐμὸν κατόρθωμα θαυμάζεις
»τοῦ ταπεινοῦ καὶ εὐτελοῦς καὶ παντελῶς ἀτόλμου;
»ἀλλ' ὅμως πάντα δυνατὰ τῷ πρὸς Θεὸν θαρροῦντι·
»καὶ ἐπειδήπερ βούλεσαι ἰδεῖν τὸν σὸν οἰκέτην,
»μετ' ὀλίγων παραγενοῦ πρὸς ποταμὸν Εὐφράτην,
»κἀκεῖ με ὄψει, δέσποτα ἅγιε, ὅταν βούλει.
»Καὶ μὴ νομίσῃς ἀπειθῶ πρὸς σὲ παραγενέσθαι·
»ἀλλ' ὅτι κέκτησαι τινὰς ἀπείρους στρατιώτας,
»καὶ εἰ μὲν ἴσως εἴπωσι τινὲς ὅπερ οὐ δέον,
»ποιήσω σε εἰς τὸ βέβαιον ἄμοιρον τῶν τοιούτων,
»τοῖς γὰρ νέοις, ὦ δέσποτα, συμβαίνουσι τοιαῦτα».
[§ 318-319] Καὶ τὴν γραφὴν ὁ βασιλεὺς διεξιὼν κατ' ἔπος,
ἐθαύμαζε τὴν τοῦ παιδὸς ταπείνωσιν τοῦ λόγου,
καὶ ἔχαιρε κατανοῶν τὸ ὕψος τῆς ἀνδρείας.
Σφόδρα δὲ ὀρεγόμενος ἰδεῖν τὸν νεανίαν
παραλαβὼν μεθ' ἑαυτοῦ ἑκατὸν στρατιώτας 40β
καὶ δορυφόρους ἱκανούς, ἦλθεν εἰς τὸν Εὐφράτην,
πᾶσιν ἐπαγγειλάμενος τοῦ φθέγξασθαι μηδόλως
λόγον τινὰ ἐπίμωμον ἔμπροσθεν τοῦ 'Ακρίτου.
[✱] Οἱ δέ γε τούτου ἕνεκα φυλάττειν συνταχθέντες
παρὰ μικρὸν ἀπήγγειλαν τὴν ἄφιξιν συντόμως
βασιλέως πρὸς Διγενῆ τὸν θαυμαστὸν 'Ακρίτην.
Καὶ πρὸς αὐτὸν ὁ Διγενὴς μονώτατος ἐξῆλθεν,
ὃς μέχρι γῆς τὴν ἑαυτοῦ κεφαλὴν ὑποκλίνας·
«Χαίροις, ἔφη, ὁ ἐκ Θεοῦ λαβὼν τὴν βασιλείαν,
»καὶ δι' ἀσέβειαν ἐθνῶν ἅπασι κυριεύσας·
»πόθεν μοι τοῦτο γέγονεν ὁ γῆς πάσης δεσπόζων·
»παραγενέσθαι πρὸς ἐμὲ τὸν ἐξουθενημένον;»
[§ 319 ✱] Τοῦτον ἰδὼν ὁ βασιλεὺς καὶ ἐκπλαγεὶς τὴν θέαν,
παντὸς ἐπιλαθόμενος ὄγκου τῆς βασιλείας,
μικρὸν τοῦ θρόνου προσελθὼν κατησπάζετο χαίρων,
κατεφίλει περιχαρῶς ἡλικίαν θαυμάζων,
καὶ τὴν πολλὴν κατάθεσιν τοῦ εὐμεγέθους κάλλους·
«Ἔχεις, λέγων, ὦ τέκνον μου, ἀπόδειξιν τῶν ἔργων·
»τοῦ γὰρ κάλλους ἡ σύνθεσις ἀνδρείαν εἰκονίζει·

1004 ἑξ. Βλέπε ἀντίστοιχ. τῷ παρόντι χωρίον ἐν Α 2375 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ.
1018 ἑξ. Πρβλ. διαφορὰς ἐν Α 2378 ἑξ.

»εἴθε τοιούτους τέσσαρας εἶχεν ἡ 'Ρωμανία!
»Λέγε λοιπόν, ὦ τέκνον μου, πεπαρρησιασμένως,
»καὶ ὅπερ βούλει λάμβανε τῆς ἐμῆς βασιλείας».
[§ 320] «Τὰ πάντα ἔχε, δέσποτα, ὁ παῖς ἀνταπεκρίθη.
»ἐμοὶ γὰρ ἔστιν ἱκανὴ μόνον ἡ σὴ ἀγάπη
»οὐ δίκαιον δὲ τοῦ λαβεῖν ἀλλὰ διδόναι μᾶλλον,
»ἔχεις καὶ γὰρ ἐν τῷ στρατῷ ἐξόδους ἀνεκάστους·
»ἀξιῶ καὶ ἀντιβολῶ τῆς σῆς δόξης τὸ κράτος 41α
»ἀγαπᾶν τὸ ὑπήκοον, ἐλεεῖν πενομένους,
»ἐξ ἀδικούντων ῥύεσθαι τοὺς καταπονουμένους,
»τοῖς παρὰ γνώμην πταίουσι συγχώρησιν παρέχειν,
»μὴ προσέχειν διαβολαῖς, ἄδικον μὴ λαμβάνειν,
»αἱρετικοὺς ἀποσοβῶν, ὀρθοδόξους κρατύνων.
[§ 321 ✱] »Ταῦτα γάρ, δέσποτα, εἰσὶν ὅπλα δικαιοσύνης,
»μεθ' ὧν δυνήσῃ τῶν ἐχθρῶν πάντων περιγενέσθαι·
»οὐ γὰρ ἔστι δυνάμεως κρατεῖν καὶ βασιλεύειν,
»Θεοῦ μόνον τὸ δώρημα καὶ δεξιᾶς 'Υψίστου·
»ἐγὼ δὲ ὁ πανευτελὴς τῷ σῷ κράτει δωροῦμαι,
»ὃ ἐδίδου κατα καιρὸν τέλος τῷ 'Ικονίῳ

1034 τοὺς ἀδικοῦντας ῥύεσθαι καὶ καταπονουμένους ('Αντικατεστάθη διὰ Α 2393).—1035 γνώμην παίουσι συγχώρ.—1036 διαβουλαῖς—

1032 ἑξ. 'Αξιῶ καὶ ἀντιβολῶ κλπ. "Αξια προσοχῆς εἶναι ἐν προκειμένῳ τὸ ὕφος καὶ ὁ τόνος τοῦ Διγενοῦς, ὅστις φέρεται ἐνταῦθα ὡς ἴσος πρὸς ἴσον μὲ τὸν βασιλέα, πρὸς τὸν ὁποῖον μάλιστα λαμβάνει τὸ θάρρος νὰ δώσῃ καὶ συμβουλάς. Τοῦτο ἀποδοτέον οὐχὶ ἁπλῶς καὶ μόνον εἰς τὴν ἀσυδοσίαν τῶν ἀρχόντων τῶν ἀκριτικῶν θεμάτων, οἵτινες, παρὰ ταῦτα, ὤφειλον ἐνώπιον τοῦ βασιλέως νὰ τηροῦν τουλάχιστον τὰ προσχήματα, ἀλλὰ μᾶλλον εἰς τὸν ποιητὴν τοῦ "Επους, ὅστις ἀποβλέπων νὰ προκαλέσῃ ἐντύπωσιν καὶ νὰ ἐξάρῃ τὴν προσωπικότητα τοῦ ἥρωος, λαμβάνει ταυτοχρόνως τὴν εὐκαιρίαν νὰ διατυπώσῃ καὶ τὰς προσωπικάς του ἀπόψεις ἀναφορικῶς πρὸς τὴν διαγωγὴν τὴν ἐμπρέπουσαν εἰς βασιλεῖς. Αἱ ἀπόψεις αὗται εὑρίσκον φαίνεται ἀπήχησιν παρὰ τῷ κοινῷ, καθόσον ἦσαν σύμφωνοι πρὸς τὸ λαϊκὸν αἴσθημα, τὸ ὁποῖον ἐν παντὶ χρόνῳ καὶ τόπῳ θεωρεῖ ἰδεώδη τὸν ἡγεμόνα ἐκεῖνον, ὅστις εἶναι φίλος τῆς δικαιοσύνης, ἐχθρὸς καὶ τιμωρὸς τῶν δυνατῶν, τῶν αὐλοκολάκων καὶ τῶν τυραννίσκων τοῦ λαοῦ. Βλέπε σχετικῶς καὶ ἀπόψεις Iorga ἐν Histoire de la vie byzantine τομ. β' σελ. 273, ἀπὸ Wartemberg ἐν Das mittelgriechische Nationalepos ἐν Allgmeinee Zeitung, Μόναχον 6 Φεβρουαρίου 1899, ὡς καὶ ἐν "Εσσελιγγ, Βυζάντιον και Βυζ. πολιτισμὸς σελ. 215—216.

1043. Τὰ περὶ 'Ικονίου ἐνταῦθα, ὡς καὶ ἡ ἐν Κδ 975 μνεία Περσῶν, οἵτινες εἰς τὴν πραγματικότητα εἶναι Τοῦρκοι, ὀφείλονται προφανῶς εἰς μεταγενεστέραν προσθήκην. Πρόκειται πράγματι περὶ ἀναχρονισμοῦ, καθόσον τοιοῦτος φόρος πληρωνόμενος ὑπὸ "Ελληνος αὐτοκράτορος δὲν εἶναι νοητὸς εἰ μὴ μετὰ τὴν ἐγκατάστασιν τῶν Σελτζούκων Τούρκων ἐν Μ. 'Ασίᾳ καὶ μετὰ τὴν ἵδρυσιν τοῦ Σουλτανάτου τοῦ 'Ικονίου. Τοῦτο συνέβη εἴκοσι ἔτη μετὰ τὴν μάχην τοῦ Μαντζικιὲρ (1071) καθ' ἣν ὁ Σουλτάνος

»ἄλλο τοσοῦτον σε λαβεῖν παρ' ἐκείνων ἀκόντων,
»καὶ ποιήσω σε, δέσποτα, ἀμέριμνον ἐκ τούτου,
«ἄχρις ἂν ἡ ἐμὴ ψυχὴ ἐκ τοῦ σκήνους ἐξέλθῃ».
[§ 322] Καὶ ἐχάρη ὁ βασιλεὺς ἐπὶ τούτοις τοῖς λόγοις,
καὶ φησίν· «Ὦ θαυμάσιε, κάλλιστε νεανία
»ἡ βασιλεία ἡ ἐμὴ πατρίκιόν σε ἔχει,
»δωρουμένη σοι ἅπαντα κτήματα τοῦ σοῦ πάππου,
»καὶ ἐξουσίαν νέμω σοι τοῦ διοικεῖν τὰς ἄκρας·
»ταῦτα δὲ εἰς χρυσόβουλλον σῶα ἐπικυρώσω,
»καὶ ἐσθῆτας βασιλικὰς παρέχω πολυτίμους».
[✱] Ταῦτα εἰπὼν ὁ βασιλεύς, εὐθὺς ὁ νέος προστάξας
ἕνα τῶν ἵππων τῶν αὐτοῦ ἀγροικῶν, ἀδαμάστων,
κομίσαι ἔμπροσθεν αὐτῶν σιδήροις δεδεμένον·
ὃν λῦσαι ἔφη τοῖς παισὶν καὶ «Ἀφετέ τον τρέχειν».
Καὶ τὰς ποδέας ὀχυρῶς πήξας εἰς τὸ ζωνάριν, 41β
ἤρξατο τρέχειν ὄπισθεν τοῦ καταλαβεῖν τοῦτον·
καὶ εἰς ὀλίγον διάστημα τῆς χαίτης τε κρατήσας
ὄπισθέν τον ἐγύρισε τὸν ἀγροικὸν καὶ μέγαν,

"Αλπ-'Αρσλὰν ἐνίκησε τὸν Ρωμανὸν Διογένην συλλαβὼν αὐτὸν αἰχμάλωτον. Τὸ Σουλτανάτον τοῦ 'Ικονίου ἱδρύθη μετὰ τὸ 1092, ἐπὶ 'Αλεξίου Α' Κομνηνοῦ. Βλέπε σχετικῶς Παπαρρηγ. 'Ιστορ. Δβ, σελ. 23 ὑποσημ. 1, Χρονολ. πίνακα ἐν α' τόμῳ παρόντος ἔργου σελ. νστ', ἔτος 1071 ἑξ., ἀπόψεις Κυριακίδου ἐν Λαογραφίας Ι', σελ. 650-651, ὡς καὶ ἐν τῷ εἰσαγωγ. ὑπομνήματι τοῦ παρόντος τόμου σελ. ζ' καὶ ὑποσημ. 15. Τὴν μνείαν τοῦ 'Ικονίου θεωρεῖ ὁ Χατζῆς ὡς terminus post quem τοῦ "Επους, τοῦτον δὲ ἀντέκρουσεν ὁ Grégoire. Βλέπε σχετικῶς μελέτας Χατζῆ ἐν Byz.-Neugr. Jarhbücher 9 (1931) σ. 274 ἑξ. καὶ 10 (1933), σ. 369 ἑξ., Grégoire, Revue des Ftudes Grecques 46 (1933) 66 καὶ ἐν Byzantion IX, σελ. 361-365.

1054 ἑξ. Τὰ ἐν προκειμένῳ σημειούμενα περὶ τῆς ἱππικῆς δεξιότητος τοῦ Διγενοῦς δὲν εἶναι, νομίζω, ἄσχετα πρὸς τὰ ἀναφερόμενα περὶ τοῦ Μ. 'Αλεξάνδρου καὶ τὸ κατόρθωμά του νὰ δαμάσῃ τὸν Βουκέφαλον. Βλέπε σχετικῶς ἐν Πλουτάρχου, Βίῳ 'Αλεξάνδρου, ἐκδ. Sintenis, Teubner Λειψίας τομ. Γ', VI σελ. 284,6 ἑξ., Μεσαιων. βίῳ 'Αλεξάνδρου ἐκδ. Wagner, στίχ.596 ἑξ., καὶ Φυλλάδᾳ Μεγ. 'Αλέξαντρου σελ.79. Πλήρεις παραπομπὰς τῶν ἔργων τούτων βλέπε ἐν Βιβλιογραφίᾳ α' τόμου παρόντος ἔργου, σελ.μβ', κτλ. 32-34. 'Αναλόγων ἱππικῶν καὶ ἄλλων κατορθωμάτων μνεία γίνεται παρὰ τῶν βυζαντ. συγγρ. Συνεχιστοῦ, Κεδρηνοῦ, Ψευδοδωροθέου κλπ. προκειμένου περὶ τοῦ Βασιλείου Α' Μακεδόνος καὶ τοῦ 'Ιωάννου Α' Τζιμισκῆ. Βλέπε σχετικῶς ἐν Byzantion, VI 491, Κυριακ. Διγ. 'Ακρ. σελ. 86-87, ἐν Bury History of the Eastern Empire σελ. 167, ἐν Ψευδ. 349-350. Πρβλ. καὶ Ε 930. 'Αναλόγου κατορθώματος μνεία γίνεται καὶ εἰς τὸ ᾆσμα τῶν υἱῶν τοῦ 'Ανδρονίκου στίχ. 36, ὡς καὶ ἐν τῷ ᾄσματι τοῦ 'Αρμούρη, στίχ. 34-38. Βλέπε σχετικῶς ἐν Κυριακ. Διγ. 'Ακρ. σελ. 37 καὶ 121

1058. Πρβλ. ὅμοιον στίχον ἐν Κδ 116, ὡς καὶ ὑποσημ. Κδ 114 ἑξ. αὐτόθι.

λακτίζων, στροινιάζων τε, φυγεῖν ὅλως εἰκάζων·
καὶ ἔμπροσθεν τοῦ βασιλέως ἐλθόντος τοῦ γεννάδα
κάτω τον ἐκατέρραξεν εἰς γῆν ἐφηπλωμένον,
καὶ πάντες ἐξεπλάγησαν τῇ παραδόξῳ θέᾳ.
[✱] Ὑποχωρεῖν βουλόμενος, λέων τις ἐκ τοῦ ἄλσους
ἐξελθὼν διεπτόησε τοὺς μετ' αὐτοῦ παρόντας,
πολλοὶ γὰρ λέοντες εἰσὶν ἐν ἐκείνῳ τῷ τόπῳ,
καὶ πρὸς φυγὴν δὲ καὶ αὐτὸς ὁ βασιλεὺς ἐτράπη.
Ὁ δὲ παῖς πρὸς τὸν λέοντα ὑποδραμὼν εὐθέως,
ποδὸς αὐτοῦ δραξάμενος ἑνὸς τῶν ὀπισθίων,
ἀποτινάξας ἰσχυρῶς καὶ τῇ γῇ καταρράξας,
νεκρὸν αὐτὸν ἀπέδειξε πάντων ὁμοῦ βλεπόντων.
Τοῦτον κρατῶν ἐν τῇ χειρί, καθάπερ τις τὸν πτῶκα,
πρὸς βασιλέα ἤνεγκε· «Δέξαι, λέγων, κυνῆγιν
»τοῦ σοῦ οἰκέτου, δέσποτα, διὰ σοῦ θηρευθέντα».
Καὶ πάντες ἐξεπλάγησαν ἔντρομοι γεγονότες,
τὴν ὑπεράνθρωπον αὐτοῦ ἰσχὺν κατανοοῦντες.
Καὶ τὰς χεῖρας ὁ βασιλεὺς πρὸς οὐρανὸν ἐκτείνας·
«Δόξα σοι, ἔφη, δέσποτα, ποιητὰ τῶν ἁπάντων
»ὅτι με κατηξίωσας τοιοῦτον ἄνδρα βλέψαι
»ἐν τῇ παρούσῃ γενεᾷ ἰσχυρὸν παρὰ πάντας».
Καὶ τὴν δορὰν τοῦ λέοντος ἐπαρθῆναι κελεύσας.
[§ 2 -324 ✱] Καὶ πλείστας πρὸς τὸν θαυμαστὸν ἐποίει (ὑποσχέσεις· 42α
ἀλλήλους ἀσπαζόμενοι, ὑπεχώρουν, εὐθέως
πρὸς τὸν στρατὸν ὁ βασιλεύς, ὁ δὲ παῖς πρὸς τὴν κόρην.
Ἔκτοτε κῦρος ἔλαβε παρὰ πάντων ὁ λόγος,
καὶ τὸν παῖδα ὠνόμαζον Βασίλειον Ἀκρίτην,
τὸν χρυσοβούλλου εἵνεκα τοῦ ἄρχειν εἰς τὰς ἄκρας.
[§ 325] Ἡμεῖς δὲ καταπαύσωμεν τὸν λόγον μέχρις ὧδε,
τῶν ἐφεξῆς ἐχόμενοι συντάξεως ἑτέρας·
κόρος γὰρ λόγου, ὡς φησὶν ὁ ἐμὸς θεολόγος,
ταῖς ἀκοαῖς πολέμιος διὰ παντὸς ὑπάρχει.

1062 στροινιάζων, φυγεῖν—1066 Ὑποχωρεῖν δὲ βουλόμενος—1084 καὶ πλεῖστα πρὸς τὸν θαυμ.—

1062. στροινιάζων = ὀρθότερον ἴσως στρηνιάζων, ἐκ τοῦ στρηνής. Λέγεται ἐπὶ ἤχου διαπεραστικοῦ καὶ ὀξυτάτου. Λείψανα τοῦ μεσαιων. ῥήματος στροινιάζω εἶναι καὶ τὰ ἐν Μάνῃ στρηνιοῦ = παίζω, καὶ στρηνίο = παιχνίδι. Ἀμφότερα λέγονται ἐπὶ παιγνίων παιδικῶν ἐξαιρετικῶς ζωηρῶν καὶ συνοδευομένων ὑπὸ φωνῶν καὶ θορύβου.

1066 ἑξ. Πρβλ. σχετικῶς τὰ περὶ ἐλάφου ἐν Κδ. 144 ἑξ. ὡς καὶ ὑποσημ. Α 1453 ἑξ. Βλέπε ὡσαύτως τὰ λοιπὰ κατορθώματα τοῦ Διγενοῦς ἐν κυνηγίῳ τὸν φόνον ἄρκτων καὶ λεόντων ἐν Κδ 112 ἑξ. καὶ Α 1424 ἑξ. ὡς καὶ τὰ περὶ φόνου λέοντος ἐν Κστ. 95 ἑξ.

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ

[§ 328] Νεότης πᾶσα ἀληθῶς ματαιότης ὑπάρχει,
ὁπηνίκα πρὸς ἡδονὰς ἐκτείνει τὰς ἀτάκτους·
ὁ δέ γε ταύτης ἀσφαλῶς τὰς ἡνίας ἰθύνων
ἀχείρωτος τοῖς πάθεσιν ἐσαεὶ διαμένει,
καὶ κληρονόμος δείκνυται ζωῆς τῆς αἰωνίου,
ἀντὶ προσκαίρου ἡδονῆς τῆς αἰσχρᾶς καὶ βεβήλου.
Ὃς γὰρ τρυφᾷ, ἀδύνατον τυχεῖν τῆς αἰωνίου,
ὡς γὰρ οὐκ ἔστιν ἐμπρησμὸν μετὰ ἐλαίου σβέσαι,
οὐδὲ τρυφῶν τις δυνατὸν φυγεῖν τὴν ἁμαρτίαν,
δι' ἧς τὸ πῦρ ἐκτρέφεται πᾶσι τοῖς ἀκολάστοις.
[§ 329] Καὶ γὰρ οὗτος ὁ θαυμαστὸς καὶ γενναῖος Ἀκρίτης,
ὁ τοῖς χαρίσμασι Θεοῦ πᾶσι πεπλουτισμένος,
πρὸς ὀλίγον τὴν ἑαυτοῦ νεότητα χαυνώσας
ἀμελῶς περιπέπτωκεν ἐγκλήματι μοιχείας·
ὕστερον δὲ μετάμελος γεγονὼς ὑπὲρ τούτου 42β
τοῖς ἐντυγχάνουσιν αὐτῷ ἀνήγγειλε τὸ σφάλμα
οὐ καυχήσεως ἕνεκεν, ἀλλὰ μεταμελείας.
[§ 330 ✱] Καὶ γὰρ μιᾷ τῶν ἡμερῶν ἐντυχὼν Καππαδόκι,
τὴν ἑαυτοῦ βουλόμενος ἁμαρτίαν φαυλῆσαι,
πρὸς αὐτὸν διηγήσατο τάδε μετρίως λέγων.
[§ 335] Ὁπηνίκα ἐθελοντὶ τοῦ πατρὸς ἐχωρίσθην
καὶ ἐν ταῖς ἄκραις κατοικεῖν μόνος ἠρετισάμην,
ταξιδεῦσαι ἠθέλησα εἰς τὴν ἔνδον Συρίαν,
ἔτος πεντεκαιδέκατον ἄγων τὴν ἡλικίαν.
[§ 336] Ἀνύδρους τε καταλαβὼν κάμπους τῆς Ἀραβίας,
τὴν ὁδόν, ὥσπερ εἴωθα, μόνος μου διοδεύων,
φάραν ἐπικαθήμενος, βαστάζων καὶ κοντάριν.

1 ἑξ. Ὁ πέμπτος λόγος τοῦ παρόντος κειμένου ἀντιστοιχεῖ πρὸς τὸν ἕκτον τοιοῦτον τῶν κειμένων τῆς ὁμάδος Τ, Α, καὶ Π. Πρβλ. σχετικῶς ἐν Α 2450 (1561) ἑξ.

11 ἑξ. Πρβλ. σχετικῶς διαφορὰς ἐν Α 2457 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.

17-18 ἑξ. Πρβλ. διαφορὰς ἀντιστοίχου τῷ παρόντι χωρίου ἐν Α 2462 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμον ὑποσημ. αὐτόθι.

24. ἔτος πεντεκαιδέκατον. Πρβλ. διαφορὰν ἐν Α 2497, βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.

[§ 338] Ἔνδιψος ὅλος γέγονα, πολὺς γὰρ ἦν ὁ καύσων,
καὶ πανταχοῦ ἐσκόπευα ποῦ τὸ ὕδωρ ὑπάρχει·
δένδρον ὁρῶ ἀπόμηκα πρὸς τὴν δεξιὰν βέλτοι,
καὶ τὴν φάραν ἐπιλαλῶ, νομίσας ὕδωρ ἔχειν·
καὶ οὐδαμῶς ἀπέτυχον· φοῖνιξ δὲ ἦν τὸ δένδρον,
καὶ ἐκ τῆς ῥίζης θαυμαστὴ ἀνεπέμπετο βρύσις.
[§ 339] Ταύτῃ δ' ὡς ἐπλησίαζον ὀλολυγμοὺς ἀκούω,
καὶ κλαυσώδεις ὀλοφυρμοὺς μετὰ πλείστων δακρύων,
ἡ δὲ θρηνοῦσα κόρη ἦν πάνυ ὡραιοτάτη.
[§ 340] Κἀγὼ νομίσας φάντασμα τὸ ὁρώμενον εἶναι,
ἔκδειλος ὅλος γέγονα, τριχῶν μου ὀξυνθέντων,
καὶ τὸ φρουροῦν με δὴ ἀεὶ διεχάραττον ὅπλον,
ἦν γὰρ ὁ τόπος ἔρημος, ἄβατος καὶ ἀλσώδης.
Ἐκείνη δὲ ὡς εἶδέ με, ἀνέθορεν εὐθέως,
καὶ αὐτὴν περιστείλασα ἐν τῷ πρέποντι κόσμῳ, 43α
τάς τε βροχὰς τῶν ὀφθαλμῶν ἄρασα τῇ ὀθόνῃ,
πρός με λέγειν ἀπήρξατο περιχαρῶς τοιάδε·
«Πόθεν, καλὲ νεώτερε, καὶ ποῦ μόνος ὁδεύεις;
»μὴ διὰ πόθον καὶ αὐτὸς ἐπλανήθης ἐνταῦθα;
»ἀλλ' ἐπειδή, ὡς ἔοικεν ἐκ τοῦ Θεοῦ ὡδηγήθης
»τῆς ἐρημίας ὅπως με τὴν ἀθλίαν ἑλκύσῃς,
»πρὸς μικρὸν ἀναπαύθητι, κύριέ μου, ἐνταῦθα,
»ἵν' ὅπως ἀκριβέστερον τὰ κατ' ἐμὲ ἀκούσῃς,
»καί τινα τῶν ὀδυνῶν παρηγορίαν λάβω,
»λόγοις γὰρ συνεπαίρεται ἐκ τῆς ψυχῆς ἡ λύπη».
[§ 341] Ταῦτα κἀγὼ ὡς ἤκουσα, εἰς χαρὰν μετεβλήθην,
ἀληθὲς τὸ φαινόμενον ἀκριβῶς ἐννοήσας·
μετὰ πολλῆς τῆς ἡδονῆς ἐπέζευον εὐθέως,
ἥψατο γάρ μου τῆς ψυχῆς τὸ ἀπόρρητον κάλλος,
ὥστε δευτέραν τῆς ἐμῆς ταύτην εἶναι νομίσας.
Καὶ τὸν μὲν φάραν ἔδησα εἰς τοῦ δένδρου τὸν κλῶνα,
τὸ δὲ κοντάριν ἔστησα μέσον αὐτοῦ τῆς ῥίζης,

28 ἔδιψος— 50 τὰ κατ' ἐμοῦ ἀκούσῃς—

32. Βλέπε κατωτέρω Κε 59 καὶ ταυτάριθμ. ὑποσημ.
37 ἑξ Πρβλ. ἀντίστοιχον τῷ παρόντι χωρίον ἐν Α 2528 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.
45 ἑξ. Πρβλ. ἀντίστοιχον τῷ παρόντι χωρίον ἐν Α 2531 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.
59 Ἀνάλογος στίχος ἀπαντᾷ καὶ εἰς τὸ Ἆσμα Ἀρμούρη. Βλέπε σχετικῶς ἐν Κυριακ. Διγ. Ἀκρ. σελ. 121, στίχ. 50. Βλέπε ὡσαύτως ἐν Α 2519, Α 2544, Κε, 32 καὶ ταυταρίθμ. ὑποσημειώσεις.

καί, ὕδατος μεταλαβὼν πρὸς αὐτὴν τάδε ἔφην.
[§ 342] «Λέγε μοι, κόρη, πρότερον πῶς ἐνταῦθα διάγεις;
»καὶ τίνος χάριν ᾤκησας ἐν τῇ ἐρήμῳ ταύτῃ,
»εἶθ' οὕτως γνώσῃ καὶ αὐτὴ ποῖος κἀγὼ ὑπάρχω».
Εἶτα καθίσαντες ὁμοῦ ἐν θώκῳ χαμαιζήλῳ,
τάδε λέγειν ἀπήρξατο, στενάξασα ἐκ βάθους.
[§ 343] «Ἐμή, πατρίς, νεώτερε, τὸ Μεφερκὲ τυγχάνει·
»τὸν Ἁπλορράβδην ἤκουσας, τὸν Ἀμηρᾶν τῶν πάντων,
»οὗτος πατὴρ ἐμὸς ἐστί, μήτηρ ἡ Μελανθία.
»Ῥωμαιογενῆν ἠγάπησα ἐπὶ κακῷ ἰδίῳ,
»ὅντινα εἶχε δέσμιον τρεῖς χρόνους ὁ πατήρ μου·
»καὶ γὰρ ἐνδόξου στρατηγοῦ υἱὸς ἔλεγεν εἶναι,
»τῶν δεσμῶν ἠλευθέρωσα, φυλακῆς ἐρρυσάμην.
[§ 344] »Φαρία τὸν ἐχάρισα, πρωτεῖα τοῦ πατρός μου,
»ἄρχοντα τοῦτον ἔδειξα περιφανῆ Συρίας,
»μετὰ βουλῆς καὶ τῆς μητρός, τοῦ πατρός μου ἀπόντος,
»ἐν τοῖς πολέμοις γὰρ ἀεὶ εἴωθεν ἀσχολεῖσθαι.
»Ἐφαίνετο δὲ εἰς ἐμὲ πολλὴν ἔχων ἀγάπην,
»καὶ θνήσκειν, εἰ συμβέβηκε πρὸς ὥραν μὴ ἰδεῖν με,
»ὑπῆρχε δὲ ἐπίπλαστος, ὡς ἔδειξε τὸ τέλος.
[§ 345] »Καὶ γὰρ μιᾷ τῶν ἡμερῶν, δρασμὸν ὑπονοήσας,
»βουλόμενος τοῦ ἐξελθεῖν ἐπὶ τὴν Ῥωμανίαν,
»καὶ τὴν βουλὴν ἐξεῖπε μοι, καὶ ὅνπερ εἶχε φόβον
»διὰ πατέρα τὸν ἐμὸν μήποτε ἐπανήξῃ,
»καὶ ἐμὲ κατηνάγκαζε σὺν αὐτῷ πορευθῆναι,
»ὅρκοις ἐπαγγειλάμενος λίαν φρικωδεστάτοις
»μὴ ἀρνηθῆναί με ποτέ, ἀλλὰ σύμβιον ἔχειν.
[§ 346] »Οἷσπερ κἀγὼ πιστεύσασα, συμφυγεῖν κατεθέμην,
»ἄδειαν εἶτα ἐφευρεῖν ἄμφω διεσκοποῦμεν
»τὸν πλοῦτον ὅπως ἄρωμεν τῶν ἐμῶν γεννητόρων·

67 τὸν Ἀμηρᾶν που πάντως (Διώρθ. κατὰ Α 2552).

64. καθισαντες ὁμοῦ ἐν θώκῳ χαμαιζήλῳ. Ἡ φράσις ἐλήφθη κατὰ πιστὴν σχεδὸν ἀντιγραφὴν ἐκ τοῦ Ἀχιλλ. Τατίου, βιβλ. Α', κεφ. 2, ἔνθα ὁ συγγραφεὺς φέρεται συναντήσας διὰ πρώτην φορὰν τὸν νεανίσκον Κλειτοφῶντα, μεθ' οὗ ἤρχισε συνδιαλεγόμενος. Εἰς τὸ σχετικὸν χωρίον κεῖται: «Καθίσας οὖν αὐτὸν ἐπί τινος θώκου χαμαιζήλου, καὶ αὐτὸς παρακαθισάμενος». Πρβλ. ἀντίστοιχ. τῷ παρόντι στίχ. ἐν Α 2547, ἔνθα παρατηρεῖται παρανόησις καὶ ἀλλοίωσις, ἐν ἀντιθέσει πρὸς τὸ παρὸν χωρίον, τὸ ὁποῖον διέσωσεν ἀκριβέστερον τὴν φράσιν τοῦ Τατ.
66 Μεφερκέ. Πρβλ. σχετικῶς ἀντίστοιχον τῷ παρόντι χωρίον ἐν Α 2551 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.
67. Περὶ Ἁπλορράβδου βλέπε ὑποσημ. Α 2552 ἑξ.
68. Περὶ Μελανθίας βλέπε ὑποσημ. Α 2553.

»Καὶ δή, κατά τινα πικρὰν καὶ δαιμονίαν τύχην,
»νόσος ἐπῆλθε τῇ μητρὶ θανάτῳ γειτνιῶσα·
»καὶ οἱ μὲν ἄλλοι ἅπαντες πρὸς θρήνους οἱ ἐν οἴκοις
»ἔτρεχον ἀνοιμώζοντες ἔνθα θάνατος ἦγεν.
[§ 347] »Ἐγὼ δέ, ἡ παντάλαινα, ἀδείας ἐντυχοῦσα,
»πλοῦτον πολὺν διάρασα τῷ πλάνῳ συνεξῆλθον,
»ὑπουργησάσης τῆς νυκτὸς εὐχερῶς πρὸς τὸ ἔργον, 44α
»ἀσέληνος γὰρ ἔτυχε καὶ ἀφώτιστος πάντη.
»Ἐφ' ἵπποις δὲ ἀμφότεροι τοῖς προητοιμασμένοις
»ἐποχηθέντες, τῆς ὁδοῦ ἠρχόμεθα σπουδαίως,
»καὶ φόβον μέγαν εἴχομεν ἄχρι τοῦ τριμιλλίου·
»ὡς δὲ παρήλθομεν αὐτὸ ὑπ' οὐδενὸς γνωσθέντες
»τὰ λοιπὰ διηνύομεν ἀδεῶς μετὰ μόχθου,
»τροφῆς μεταλαμβάνοντες ὅτε καιρὸς ἐκάλει,
»ὕπνου τε κορεννύμενοι καὶ τροφῆς μετασχόντες·
»ἐρώτων δὲ μυστήρια ἐρυθριῶ τοῦ λέγειν
»ἀγάπην τε τὴν πρὸς ἐμὲ παρ' αὐτοῦ δεικνυμένην·
»ψυχὴν γάρ με ὠνόμαζε, φῶς ὀφθαλμῶν ἐκάλει,
»καὶ μετ' ὀλίγον γαμετὴν ἔλεγε καὶ φιλτάτην,
»ἀκορέστως καταφιλῶν, κρατῶν με ταῖς ἀγκάλαις.
[§ 348] »Οὕτως ἐν πάσῃ τῇ ὁδῷ συγχαίροντες ἀλλήλοις,
»ἐν ταύτῃ κατελάβομεν τῇ ὁρωμένῃ βρύσει·
»καὶ τρεῖς ἀναπαυσάμενοι ἡμέρας τε καὶ νύκτας
»ἐρωτικὰς μεταβολὰς τελοῦντες ἀκορέστως,
»γνώμην αὐτοῦ τὴν ἔνδοθεν δολίως κεκρυμμένην
»ἀνακαλύπτειν ἄρχεται ὁ δεινὸς παραβάτης.
[§ 349] »Καὶ γὰρ ὁμοῦ καθεύδοντες ἐν τῇ νυκτὶ τῇ τρίτῃ,
»λάθρα τῆς κοίτης ἀναστὰς ἐπέστρωσε τοὺς ἵππους,
»τόν τε χρυσὸν ἀφείλετο καὶ τὰ κρείττονα σκεύη.
»Ὡς δὲ τοῦτο ἐπέγνωκα τοῦ ὕπνου ἀναστᾶσα,
»ἐμαυτὴν ὡς πρὸς τὴν ὁδὸν ηὐτρέπιζον εὐθέως,
»εἰς νεανίσκου τὴν στολὴν μεταβαλοῦσα εἶδος,
»τοιούτῳ γὰρ τῷ σχήματι τῆς πατρίδος ἐξῆλθον.
[§ 350] »Ἐφ' ἵππου τοίνυν ἐπιβὰς τοῦ ἰδίου ἐκεῖνος
»εἷλκε χερσὶ τὸν ἕτερον καὶ ᾤχετο τοῦ δρόμου.
»Τοῦτο γοῦν τὸ παράλογον ἀνέλπιστον ὡς εἶδον,
»πεζή, ὡς εἶχον, ἔτρεχον κατόπισθε βοῶσα.
[§ 351] »Ἀπέρχεσαι, ὦ φίλτατε, ἐμὲ λιπὼν ποῦ μόνην;
»Ἐπελάθου τῶν ἀγαθῶν ὧν σοι ἐνεδειξάμην;
»Οὐ μνημονεύεις ἐξ ἀρχῆς τοὺς ἐξαιρέτους ὅρκους;»

119 ἑξ. Πρβλ. διαφορὰς ἐν Α 2606 (1717) ἑξ., ἔνθα παρατηρεῖται παρανόησις.

»Ὡς δὲ οὐχ ὑπεστρέφετο, ἔτι μᾶλλον ἐφώνουν·
«Ἐλέησον, οἰκτείρησον, σῶσον με τὴν ἀθλίαν,
»μὴ ἐνταῦθα ἐάσῃς με ὑπὸ θηρῶν βρωθῆναι».
[§ 352] »Καὶ ἄλλα πλείονα αὐτῷ ἔλεγον θρηνῳδοῦσα,
»ὁ δὲ γέγονεν ἀφανὴς μὴ φθεγξάμενος ὅλως·
»ἐμοῦ δὲ ἤδη τῶν ποδῶν ἀπάρτι ἀποκαμόντων
»τοῖς τῶν πετρῶν προσκρούσμασι πάντοθεν αἱμαχθέντων,
»ἐκεῖσε πού κατέπεσον νεκρὰ ἐφηπλωμένη·
»καὶ μεθ' ἡμέρας ἑαυτὴν μόλις ἀναλαβοῦσα,
»ἐν τῇ πηγῇ ὑπέστρεψα ἀνάγκῃ βαδιοῦσα,
»καὶ εἰμὶ πάντων ἔρημος, μὴ ἔχουσα ἐλπίδας.
[§ 353] »Οὐ γὰρ τολμῶ εἰς τοὺς γονεῖς τοὺς ἐμοὺς
(ὑποστρέψαι,
»αἰσχύνομαι τοὺς γείτονας, τὰς συνομήλικάς μου,
»ποῦ εὑρεῖν τὸν πλανήσαντα παντελῶς οὐ γινώσκω,
»καὶ δέομαί σου μάχαιραν τοῦ δοῦναι μοι εἰς χεῖρας,
»καὶ κατασφάξω ἐμαυτὴν ὡς πράξασαν ἀφρόνως·
»οὐ γὰρ συμφέρει μοι τοῦ ζῆν πάντων ἀποτυχοῦσα.
[§ 354] »Ὢ τῶν ἐμῶν ἀτυχιῶν, ὦ συμφορῶν μεγίστων,
»ἠλλοτριώθην συγγενῶν, γονέων ἐχωρίσθην
»πρὸς τὸ κερδῆσαι φίλτατον, καὶ αὐτοῦ ὑστερήθην».
Ὡς δὲ ταῦτα ἐφθέγγετο ἡ κόρη θρηνῳδοῦσα, 45α
τοὺς βοστρύχους συντέμνουσα, τύπτουσα καὶ τὴν ὄψιν,
ἐγὼ ταύτην, ὡς δυνατόν, ἀνέστειλα τοῦ θρήνου,
τὰς χεῖρας τε τῶν πλοκαμῶν ἀνέσπασα ἐν βίᾳ
ἔχειν παραμυθούμενος ἐλπίδας χρηστοτέρας.
[§ 355] Καὶ ἐπερώτησα μαθεῖν· «Πόσαι εἰσὶν ἡμέραι
»ἀφ' ἧς ὁ πλάνος μόνην σε κατέλιπεν ἐνταῦθα».
Ἡ δὲ αὖθις στενάξασα· «Δέκα ἡμέρας, ἔφη,
»μέχρι τοῦ νῦν ἐπλήρωσα ἐν ταύτῃ τῇ ἐρήμῳ,
»μὴ ἰδοῦσα ἐκτὸς σοῦ ἄλλον ἀνθρώπου χαρακτῆρα
»καί τινος ἄλλου γηραιοῦ, κατὰ τὴν χθὲς ἡμέραν,
»ὃς ἔλεγε καὶ τὸν υἱὸν αὐτοῦ παρὰ Ἀράβων
»ἀφαιρεθῆναι πρὸ μικροῦ καὶ αἰχμάλωτον εἶναι,
»καὶ σπεύδειν εἰς ἀνάρρυσιν αὐτοῦ εἰς Ἀραβίαν.
[§ 356] »Οὗτος μοι διηγήσατο, τὰ κατ' ἐμὲ ἀκούσας,
»ὅτι πρὸ πέντε ἡμερῶν, εἰς τὸ Βλαττολιβάδιν,
»παιδὶν ξανθόν, ἀρτιγενές, μακρὸν τῇ ἡλικίᾳ,

153 ἐν βίᾳ (ἡ λέξις δυσανάγνωστος ἐσημειώθη κατὰ Α 2648).—161 τὸν υἱὸν αὐτοῦ ποτὲ παρὰ Ἀράβων—

165. Περὶ Βλαττολιβαδίου βλέπε ὑποσημ. Α 2659.
166. μακρὸν τῇ ἡλικίᾳ = ὑψηλὸν τὸ ἀνάστημα.

»εἰς φάραν ἐποχούμενον καὶ συρτὸν ἄλλον φέρον,
»ὁ Μουσοὺρ ἐστασίασε καὶ σπαθέαν τον ἐδῶκε,
»καί, εἰ μὴ ὁ νεώτερος ὁ Ἀκρίτης εὑρέθη,
»ἐφόνευέ τον ἐκ παντὸς ἐν τῇ ὥρᾳ ἐκείνῃ·
»λέγω δὲ τοῦ τοῦτον ἐκ παντὸς τὸν παραβάτην εἶναι,
»ταῦτα γὰρ τὰ γνωρίσματα ἐκεῖνον βεβαιοῦσι.
[§ 357] »Οἴμοι, οἴμοι, παντάλαινα καὶ παναθλία τύχη,
»ἡ ἀδοκήτως ἀγαθοῦ τοιούτου στερηθεῖσα,
»ἡ τὸ γλυκὺ πρὸ τοῦ πιεῖν ἀπολέσασα κάλλος,
»καὶ ὡς δένδρον νεόφυτον πρὸ καιροῦ ξηρανθεῖσα!» 45β
[§ 359] Ταῦτα ἡ κόρη λέγουσα, δακρύουσα ἀσχέτως,
καὶ Ἄραβοι ἐξῆεσαν ἄφνω ἀπὸ τῆς ἕλης
ὑπέρτεροι τῶν ἑκατόν, πάντες δὲ κονταρᾶτοι·
οὕτως δέ μοι ὑπέπεσαν ὡς γῦπες εἰς τὸ βρῶμα·
καὶ ὁ φάρας πολλὰ φθαρεὶς ἀπέσπασε τὸν κλῶνον,
ἐγὼ δὲ τοῦτον κατασχὼν ἐχόμενον τοῦ δρόμου,
μετὰ σπουδῆς ἐπέβαινον κατέχων τὸ κοντάριν,
καὶ πρὸς αὐτοὺς ἐπιδραμὼν πολλούς τούτων ἀνεῖλον.
[§ 360] Τινὲς δέ με γνωρίσαντες ἔλεγον πρὸς ἀλλήλους·
«Αὕτη ἡ τόλμη ἀληθῶς καὶ ἡ πολλὴ ἀνδρεία
»τὸν Ἀκρίτην ἐμφαίνουσιν· ἀπωλόμεθα πάντες».
Οἱ δὲ τοῦτο ἀκούσαντες ἔφυγον εἰς τὴν ἕλην,
τὰ κοντάρια ρίψαντες ἔνιοι καὶ ἀσπίδας,
μήτε μίαν προσμείναντες κἂν στιγμὴν τὸ παράπαν.
[✱] Ὡς δὲ καὶ μόνον ἑαυτὸν εἶδον περιλειφθέντα,
πρὸς τὴν πηγὴν ὑπέστρεφον ἔνθα ἦτον ἡ κόρη.
ἐκείνη δὲ εἰς εὐχερὲς δένδρον ἐπανελθοῦσα,

176 νεώτατον + νεόφυτ. —184 πολλοὺς τούτους.

177 ἑξ. Πρβλ. ἀντίστοιχον τῷ παρόντι χωρίον ἐν Α 2680 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.
185 ἑξ. Ἐνῷ ἐν τῷ παρόντι χωρίῳ οἱ Ἄραβες φέρονται ὡς τραπέντες εἰς ἀκάθεκτον φυγὴν εὐθὺς ὡς ἀντελήφθησαν ὅτι ὁ ἀντίπαλός των ἦτο ὁ Διγενής, εἰς τὰ κείμενα Α 2701 ἑξ. καὶ Π 371,25 ἑξ. οὗτοι φέρονται ἀντιμετωπίσαντες μετὰ τόλμης τὸν Ἀκρίταν καὶ μάλιστα κατορθώσαντες πρὸς στιγμὴν ν' ἁρπάσουν τὴν κόρην, ἀλλὰ τελικῶς ἡττηθέντες. Πρβλ. σχετικῶς ἀντίστοιχα χωρία, βλέπε δὲ καὶ ὑποσημ. Α 2689 καὶ Α 2703 ἑξ.
193. Ἐνῷ ἡ κόρη φέρεται ἐνταῦθα ὡς καταφυγοῦσα εἰς δένδρον διὰ νὰ σωθῇ κατὰ τὴν διάρκειαν τῆς πάλης τοῦ Διγενοῦς μετὰ τῶν Ἀράβων εἰς τὰ κείμενα Α 2706 ἑξ. καὶ Π 371, 29 ἑξ. φέρεται ἀπεναντίας ὡς ἁρπαγεῖσα πρὸς στιγμὴν ὑπὸ τῶν ληστῶν, ἀλλ' ἐγκαίρως διασωθεῖσα ὑπὸ τοῦ Ἀκρίτου, ὅστις κατετρόπωσεν αὐτοὺς κατὰ κράτος. Πρβλ. σχετικῶς καὶ στίχ. Α 2713.

ἑώρα τὰ γενόμενα καὶ γεγονότα πάντα·
ἰδοῦσα δέ με πρὸς αὐτὴν ἀπερχόμενον μόνον,
ἐκ τοῦ δένδρου κατήρχετο καὶ σπουδαίως ὑπήντα.
[§ 363] Παρεκάλει τε λέγουσα μετὰ δακρύων τάδε·
«Κύριέ μου καὶ τῆς ἐμῆς πρόξενε σωτηρίας,
»εἰ ὁ Ἀκρίτης ἀληθῶς σὺ ὑπάρχεις ἐκεῖνος
»ὁ τὸν ἐμὸν ῥυσάμενος φίλτατον ἐκ θανάτου,
»οὗ τὸ ὄνομα ἔφριξαν καὶ νῦν οἱ Ἀραβῖται,
»ἀπάγγειλόν μοι, δέομαι, μὴ ἀποκρύψῃς ὅλως 46α
»καὶ τὴν σπαθέαν τοῦ Μουσοὺρ εἰ μετεῖχε θανάτου».
[✱] Ἐμὲ δὲ εἶχεν ἔκπληξις καὶ θαυμάζειν ἐποίει
τῆς κόρης βλέπων τὴν πολλὴν ἀγάπην πρὸς τὸν παῖδα
τὸν ταύτῃ προξενήσαντα συμφορὰς ἀνεικάστους,
τῶν γεννητόρων χωρισμόν, ἀφαίρεσιν τοῦ πλούτου,
καὶ φρικώδη κατάλειψιν ἐν ἐρήμῳ ἀβάτῳ,
μὴ προσδοκῶσα ἄλλο τι ἢ τὸ θανεῖν ἀδίκως,
καὶ τότε πρῶτον ἔμαθον ἀγάπην γυναικείαν,
θερμοτέραν κατὰ πολὺ ὑπάρχειν τῶν ἀρρένων·
φθείρει δὲ μᾶλλον ἄθεσμος καὶ παράνομος μῖξις.
Ἐγὼ δὲ ἔφην πρὸς αὐτήν· «Παῦσε, κόρη, τοῦ κλαίειν
»καὶ τοῦ θρηνεῖν ὑπὲρ αὐτοῦ τοῦ δι' ἐμοῦ σωθέντος.
[§ 364] »Ἐγὼ εἰμὶ ὁ τὸν Μουσοὺρ δικαίως θανατώσας
»τὸν ὁδοστάτην καὶ ληστήν, τὸν τὰς ὁδοὺς κρατοῦντα,
»ὡς μηδένα κατατολμᾶν διελθεῖν τοῖς ἐκεῖσε·
»ἐγὼ εἰμὶ ὁ ἐξ αὐτοῦ ἑλκύσας καὶ θανάτου
»ὃν οὐκ οἶδα πῶς ἀγαπᾷς καὶ ἐπὶ μνήμην φέρεις
»φίλτατον τὸν ἀβέβαιον ὀνομάζουσα παῖδα·
»ἀλλὰ δεῦρο καὶ πρὸς αὐτὸν ἐγώ σε ἀπαγάγω,
»παρασκευάσω τε αὐτὸν τοῦ γαμετήν σε ἔχειν,
»εἰ καὶ τὸ σέβας ἀρνηθῇς τῶν αἰσχρῶν Αἰθιόπων».
[§ 365] Ἡ δὲ τοῦτο ἀκούσασα, χαρᾶς ἐμφορηθεῖσα·
«Κύριέ μου, ἀντέφησε, μέγιστα ἀντιλῆπτορ,
»καὶ τοῦ θείου βαπτίσματος γέγονα ἐν μεθέξει
»πρὶν συναφθῆναι τῷ ἀνδρί, παρ' αὐτοῦ κελευσθεῖσα·

210 καὶ τότε πρῶτον ἔπαθον ἀγάπην γυναικείαν—218 ἐγὼ εἰμὶ ἐξ αὐτοῦ—223 ἀρνήσῃ τῶν αἰσχρῶν Αἰθ.

223. εἰ καὶ τὸ σέβας ἀρνηθῇς τῶν αἰσχρῶν Αἰθιόπων=ἐὰν ἀρνηθῇς τὴν πίστιν τῶν Μουσουλμάνων. Ἡ πρότασις τοῦ Ἀκρίτου πρὸς τὴν κόρην ἐγένετο ἀπὸ σκοποῦ διὰ νὰ μάθῃ ἐκεῖνο ἀκριβῶς τὸ ὁποῖον ἐπεζήτει, ἂν δηλ. ἡ κόρη ἦτο χριστιανή. Διότι ἂν ἡ μετὰ Χριστιανῆς μοιχεία ἐθεωρεῖτο βαρὺ ἁμάρτημα, ἡ μετ' ἀλλοθρήσκου τοιαύτη ἦτο διὰ τοὺς Βυζαντινοὺς ἀνοσιούργημα ἀσυγχώρητον εἰς τὸν αἰῶνα τὸν ἅπαντα.


»οὐδὲν γὰρ εἶχον δυνατόν, τῷ πόθῳ δουλωθεῖσα, 46β
»τὰ παρ' αὐτοῦ λεγόμενα μὴ ἀγαγεῖν εἰς ἔργον,
»δι' ὃν γονεῖς καὶ ἀγχιστὰς εἰς οὐδὲν ἐλογίσθην».
[§ 366] Ταῦτα, φίλε, ὡς ἤκουσα ἐκ στόματος τῆς κόρης
καθάπερ φλὸξ εἰς τὴν ἐμὴν καρδίαν ἐπεισῆλθεν,
καὶ προσέφερεν ἔρωτα καὶ παράνομον μῖξιν·
καὶ πρῶτα μὲν ἀνέστελλον τὴν ἀκάθεκτον γνώμην,
καὶ ἤθελον, εἰ δυνατόν, φυγεῖν τὴν ἁμαρτίαν,
ἀλλὰ πάντως ἀδύνατον πῦρ παραμεῖναι χόρτῳ.
Ὡς γὰρ ταύτην ἀνήγαγον ἐν τῷ ἰδίῳ ἵππῳ,
καὶ τῆς ὁδοῦ ἡπτόμεθα ὡς πρὸς τὴν Χαλκουργίαν
τόπος γὰρ οὗτος πέφυκε πλησίον τῆς Συρίας,
οὐκ εἶχον ὅτι γένωμαι, πῦρ ὅλος ἐγενόμην,
τοῦ ἔρωτος ὁλοσχερῶς ἐν ἐμοὶ αὐξηθέντος·
καταβαλόντες τὸ λοιπὸν χρείαν τάχα ποιῆσαι
ἐν τῷ κάλλει τοὺς ὀφθαλμοὺς ἐν τῇ ἀφῇ τὰς χεῖρας
τῷ στόματι φιλήματα καὶ ἀκοὴν τοῖς λόγοις.
[§ 367] Ἠρξάμην ἅπαντα ποιεῖν πράξεως παρανόμου
καὶ γεγόνασιν ἅπαντα ὅσα ἤθελον ἔργα,
καὶ ἐμιάνθη ἡ ὁδὸς ὑπὸ τῆς ἀνομίας,
συνεργείᾳ σατανικῇ καὶ ψυχῆς ἀμελείᾳ,
εἰ καὶ πολλὰ ἀνθίστατο ἡ κόρη πρὸς τὸ ἔργον,
εἰς Θεὸν καθορκίζουσα καὶ εἰς ψυχὰς γονέων.
[§ 368] Ἀλλὰ ὁ ἀντικείμενος, τοῦ σκότους ὁ προστάτης,
ὁ ἐχθρὸς καὶ πολέμιος τοῦ ἡμετέρου γένους,
καὶ αὐτοῦ παρεσκεύασε Θεοῦ ἐπιλαθέσθαι
καὶ τῆς ἀνταποδόσεως τῆς φοβερᾶς ἡμέρας, 47α
ἐν ᾗ πάντα τὰ κρύφια πταίσματα φανεροῦνται
τῶν ἀγγέλων ἐνώπιον καὶ τῶν ἀνθρώπων πάντων.
[§ 369] Εἶτα παραγενόμενος ἐπὶ τὴν Χαλκουργίαν,
ἐκεῖσε τὸν πλανήσαντα ταύτην εὕρομεν παῖδα.
Ἦν δὲ ἄρα τοῦ στρατηγοῦ υἱὸς τοῦ Ἀντιόχου,
τοῦ πρὸ χρόνων ἐν τῷ ζυγῷ ὑπὸ Περσῶν σφαγέντος.
Ὡς γὰρ αὐτὸν ἀπὸ χειρῶν τοῦ Μουσοὺρ ἐρρυσάμην,

259 ἄρα υἱὸς στρατηγοῦ τοῦ Ἀντιόχου—

231 ἑξ. Μέχρι τῆς στιγμῆς ἐκείνης ὁ Διγενὴς συνεκρατεῖτο ἐπὶ τῇ ἰδέᾳ ὅτι ἡ κόρη ἦτο ἀλλόθρησκος. Ἡ ἐπιθυμία του νὰ συνέλθῃ μετὰ τῆς κόρης κατέστη ζωηροτάτη, ἅμα τῇ δηλώσει της ὅτι ἦτο χριστιανή, ὁπότε τὸ ἁμάρτημα ἦτο ὀλιγώτερον βαρύ. Βλέπε σχετικῶς ὑποσημ. Κδ 223. Βλέπε ὡσαύτως καὶ ἀντίστοιχον τῷ παρόντι χωρίον Α 2750 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.
238. Περὶ Χαλκουργίας βλέπε ὑποσημ. Α 2757.


Τοπεῖον τοῦ Οὐργκιοὺπ στὴν Καισάρεια Καππαδοκίας.


Ἡ Σεβάστεια τῆς Καππαδοκίας.



Ἡ Τραπεζοῦς. Τὸ Φροντιστήριον.

ἔμπροσθέν μου οὐκ εἴασα τοῦ πορευθῆναι τοῦτον,
γνωστὸν δὲ πᾶσιν ἔφηνα καὶ παράνομον μάλα·
καὶ τοῦτον παραδέδωκα πρὸς τοὺς ἐκεῖ μου φίλους,
ὡς ἂν διάγῃ μετ' αὐτῶν ἄχρις οὗ ὑποστρέψω.
«Εἰ δ' οὖν καὶ ταύτην ἐκβαλεῖν τὴν κόρην βουληθείης,
»μὰ τὸν σωτῆρα μου Χριστόν, πλεῖον ζωὴν οὐχ ἕξεις»,
φήσας αὐτῷ μὴ ἀδικεῖν τὴν κόρην μήτε βλάπτειν,
τοῦτον ἐκεῖ καταλιπὼν πλεῖστα τε νουθετήσας,
καὶ δεύτερον ἐντειλάμενος μὴ ταύτην ἀθετῆσαι,
ἀλλ' ἔχειν, ὡς ὑπέσχετο, γαμετὴν διὰ νόμου.
[§ 370] Διηγησάμην ἅπασι πῶς τε εὗρον τὴν κόρην
καὶ πῶς ταύτην ἀφήρπασα ἀπὸ τῶν Ἀραβίτων·
τὰ δὲ μὴ δέον ἐξειπεῖν παρέτρεχον τῷ λόγῳ,
ἵνα μὴ σκάνδαλον ὁ παῖς εἰς διάνοιαν λάβῃ.
Εἶτα τὸν πλοῦτον ἅπαντα παραδοὺς ἀμφοτέροις,
ὃν ἡ κόρη ἀφείλετο ἐξ οἰκείων γονέων,
καὶ ἵππους δύο τοὺς αὐτῶν ἀπέπεμπον ἐκεῖσε,
αὖθις ἐπαγγειλάμενος τῷ νέῳ δημοσίως
τοῦ μηδέποτε ἄδικον ἔτι τῇ κόρῃ πρᾶξαι. 47β
[§ 371-372] Καὶ μετ' ὀλίγον καὶ αὐτὸς ἦλθον εἰς τὴν (καλήν μου,
τοῦ Ἀπριλίου τρέχοντος πρὸς μεσότητα ἤδη,
τὸ συνειδὸς κατήγορον φέρων τῆς ἁμαρτίας
καὶ ταλανίζων ἐμαυτὸν ἐν τῇ ἀθέσμῳ πράξει
ὁπηνίκα τὸν ἥλιον, τὴν ἐμὴν ψυχὴν εἶδον,
ὡς αἰσχυνόμενος αὐτὴν μεγάλως ἀδικήσας,
μετ' ὀλίγον γὰρ ἔδοξα μετοίκησιν ποιῆσαι
διὰ τὸ γνῶναι καὶ αὐτὴ τὴν παράνομον μῖξιν,
ἣν δὴ καὶ πεποιήκαμεν ἀπάραντες ἐκεῖθεν.

265 ὡς ἂν διάγῃ μετ' αὐτῆς—

285 ἑξ. Ἐννοεῖ τὴν σύζυγόν του τὴν ὁποίαν ἠδίκησε διὰ τῆς ἀθέσμου πράξεώς του μετὰ τῆς κόρης τοῦ Ἀπλορράβδου.

ΛΟΓΟΣ ΕΚΤΟΣ

[§ 373] Ἕκτος λόγος ὁ παρὼν πλείστων ἀνδραγαθίων
διεξιὼν τὰ θαύματα τοῦ Διγενοῦς Ἀκρίτου,
ὡς αὐτὸς διηγήσατο πρὸς τοὺς ἰδίους φίλους.

[§ 374] Εἰ βασιλέα τῶν μηνῶν θεῖναι τις ἐβουλήθη,
Μάϊος ἐβασίλευσεν εἰς ἅπαντας τοὺς μῆνας,
κόσμος οὗτος τερπνότητος γῆς ἁπάσης τυγχάνει,
ὀφθαλμὸς πάντων τῶν φυτῶν καὶ τῶν ἀνθῶν λαμπρότης,
τῶν λειμώνων ἐρύθημα καὶ κάλλος ἀπαστράπτον
ἔρωτας πνέει θαυμαστῶς, Ἀφροδίτην ἐπάγει·
γῆν τοῦ μιμεῖσθαι οὐρανὸν αὐτὴν παρασκευάζει,
ἀγλαΐζων τοῖς ἄνθεσι, ῥόδοις τε καὶ ναρκίσσοις.
[§ 375] Ἐν τούτῳ δὴ τῷ θαυμαστῷ μηνὶ τῷ γλυκυτάτῳ,
ἠθέλησα μεταβαλεῖν μόνος μὲ τῆς καλῆς μου,
τοῦ στρατηγοῦ τῆς θυγατρὸς τοῦ Δουκὸς τῆς ὡραίας.
[§ 376] Καὶ δὴ πρός τινα θαυμαστὸν λειμῶνα ἀπελθόντες,
ἐκεῖ τὴν τένδαν ἔστησα καὶ τὴν ἰδίαν κλίνην,
κύκλωθεν ταύτης τεθεικὼς πάντων φυτῶν τὰ εἴδη. 48α
Κάλαμοι ἐπεφύοντο εἰς ὕψος ἐπηρμένοι.
[§ 377] Ὕδωρ ψυχρὸν ἀνέβλυζεν ἐν μέσῳ τοῦ λειμῶνος
καὶ πανταχοῦ διέτρεχεν τῆς γῆς ἐκείνης πάσης.

16 ἔστησαν. Διώρθωσα κατὰ Α 2834 (1878).—

1 ἑξ. Ὁ ἕκτος λόγος τοῦ παρόντος κειμένου ἀντιστοιχεῖ πρὸς τὸν ἕβδομον τῶν διασκευῶν Τ, Α, καὶ Π, περιλαμβάνει δὲ ἀκριβῶς τὰ αὐτὰ περιεχόμενα τοῦ Αζ, ἤτοι ἀπὸ Α 2811 (1856)—Α 3855.

4 ἑξ. Τὸ χωρίον εἶναι ἀπομίμησις ἐκ τοῦ Ἀχιλλ. Τατίου: «Εἰ τοῖς ἄνθεσιν ἤθελεν ὁ Ζεὺς ἐπιθεῖναι βασιλέα κλπ.» (Τατ. βιβλ. Β', κεφ. 1). Πρβλ. ἀντίστοιχον χωρίον ἐν Α 2817 (1861), ἔνθα παρατηροῦνται ἀλλοιώσεις τινες, βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι, ἔνθα παρέχεται ὁλόκληρον τὸ σχετικὸν χωρίον τοῦ Τατ. οὗτινος ἡ ὁμοιότης πρὸς τὸ παρὸν εἶναι μεγίστη. Ἡ μόνη διαφορὰ εἶναι ὅτι ὁ Τατ. ἐξυμνεῖ τὸ ῥόδον ἀντὶ τοῦ Μαΐου.

18. Ἀπομίμησις ἐκ τοῦ Ἀχιλλ. Τατίου. Πρβλ. στίχον Τ (1880) παρεμβληθέντα ἐν Α 2843 ἑξ., βλέπε δὲ καὶ ὑποσημ. Α 2836 ἑξ. αὐτόθι.

19 ἑξ. Ἀπομίμησις ἐκ τοῦ Τατ. βιβλ. Α', κεφ. 15: «Ἐν μέσοις δὲ τοῖς ἄνθεσι πηγὴ ἀνέβλυζε» κλπ. Βλέπε καὶ ἕτερον ἀνάλογον χωρίον: «ὕδωρ δὲ κατὰ μέσον ἔρρει τοῦ λειμῶνος» (Τατ. βιβλ. Α', κεφ. 1). Πρβλ. καὶ ἀντίστοιχ. τῷ παρόντι χωρίον ἐν Α 2846, βλέπε δὲ καὶ ὑποσημ. Α 2836, ἔνθα παρατίθεται ὁλόκληρον τὸ σχετικὸν χωρίον τοῦ Τατ. Βλέπε ὡσαύτως καὶ ἀνάλογον χωρίον ἐν Κζ 30 ἑξ. Πρβλ. δὲ καὶ ἐν Α 3913 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.

Ὀρνέων γένη ἱκανὰ ἐνέμετο τῷ ἄλσει,
ταῶνες χειροήθεις τε ψιττακοὶ καὶ οἱ κύκνοι,
οἱ ψιττακοὶ κρεμώμενοι ἐπὶ τοῖς κλώνοις ᾖδον,
οἱ κύκνοι ἐν τοῖς ὕδασι τὴν νομὴν ἐποιοῦντο·
οἱ ταῶνες τὰς πτέρυγας κυκλοῦντες εἰς τὰ ἄνθη,
ἀντέλαμπον τῇ τῶν ἀνθῶν ἐν ταῖς πτέρυξι χρόᾳ·
αἱ δὲ λοιπαὶ ἐλεύθερα τὰ πτερὰ κεκτημέναι
ἔπαιζον ἐποχούμεναι εἰς τῶν δένδρων τοὺς κλώνους.
[§ 378] Καὶ τὸ κάλλος τῆς εὐγενοῦς κόρης ὑπεραστράπτον
κρεῖττον ταῶνος ἔλαμπε καὶ τῶν φυτῶν ἁπάντων·
ναρκίσσου γὰρ τὸ πρόσωπον τὴν χροιὰν ἐμιμεῖτο,
αἱ παρειαὶ ὡς εὔθαλλον ἐξανέτελλον ῥόδον,
ἄνθος ῥόδου ἀρτιφυὲς ὑπέφηνε τὰ χείλη,
ὁπηνίκα ταῖς κάλυξιν ἄρχεται ἀνατέλλειν·
βόστρυχοι ἐποχούμενοι τῶν ὀφρυδίων λίαν
χρυσοτερπεῖς ἀνέπεμπον ἀκτινοβόλους μάλα,
καὶ διὰ πάντων ἄρρητος ὑπῆρχεν εὐφροσύνη.
[§ 379] Περὶ τὴν κλίνην πέμματα ἐκάπνιζον παντοῖα

23 ἐπὶ τοῖς κλώνοις ᾖδον,—31 τὴν χροίαν—32 ἐξανέτελλε—38 Περὶ τῆς κλίνης πέγματα ἐκάπνιζον παντοῖα·—

21 ἑξ. Ὀρνέων γένη ἱκανὰ κλπ. Μίμησις ἐκ τοῦ Τατ. βιβλ. Α', κεφ. 15. Πρβλ. ἀντίστοιχον τῷ παρόντι χωρίον ἐν Α .853 ἑξ. Βλέπε καὶ ὑποσημ. 2836 ἑξ., ἔνθα παρατίθεται πρὸς ἀντιπαραβολὴν ὁλόκληρον τὸ σχετικὸν χωρίον τοῦ Τατ. Πρβλ. καὶ ἀνάλογον χωρίον ἐν Κζ 31 καὶ ἀντίστοιχον αὐτῷ ἐν Α 3923 ἑξ., ὡς καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.

29 ἑξ. Πρβλ. ἀνάλογον ἔκφρασιν καλλονῆς κόρης ἐν Κδ 353 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι μετὰ σχετικῶν παραπομπῶν. Πρβλ. ὡσαύτως καὶ ἀντίστοιχον χωρίον ἐν Α 2863 ἑξ. βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι, ὡς καὶ ὑποσημ. Α 2871 ἑξ. Πρβλ. πρὸς τούτοις καὶ τὸ κάτωθι χωρίον τοῦ Ἀχιλλ. Τατίου, ὁπόθεν φαίνεται ὅτι προέρχεται τὸ παρόν: «Τὸ δὲ κάλλος ἀστράπτον τοῦ ταὼ ἧττον ἐδόκει μοι τοῦ τῆς Λευκίππης εἶναι προσώπου. Τὸ γὰρ τοῦ σώματος κάλλος αὐτῆς, πρὸς τὰ τοῦ λειμῶνος ἤριζεν ἄνθη· ναρκίσσου μὲν τὸ πρόσωπον ἔστιλβε χροιάν, ῥόδον δὲ ἀνέτειλλεν ἐκ τῆς παρειᾶς, ἴον δὲ ἡ τῶν ὀφθαλμῶν ἐμάρμαιρεν αὐγή, αἱ δὲ κόμαι βοστρυχούμεναι μᾶλλον εἱλίσσοντο κιττοῦ». (Τατ βιβλ. Α', κεφ. 19). Ἀνάλογον εἶναι καὶ τὸ χωρίον: «Ἦν δὲ τῷ ὄντι καλή, καὶ γάλακτι μὲν ἂν εἶπες αὐτῆς τὸ πρόσωπον κεχρῖσθαι, ῥόδον δὲ ἐμπεφυτεῦσθαι ταῖς παρειαῖς» κλπ. (Τατ. βιβλ. Ε', κεφ. 13).

33 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 2871 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ.

35 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 2873 ἑξ. ἔνθα τὸ νόημα εἶναι σαφέστερον.

38 ἑξ. Μίμησις ἐκ τοῦ Ἀχιλλ. Τατίου: «Τὰ θυμιάματα, κασσιά, καὶ λιβανωτός, καὶ κρόκος. Τὰ ἄνθη νάρκισσος καὶ ῥόδα καὶ μυρρίναι· ἡ δὲ τῶν ἀνθέων ἀναπνοή, πρὸς τὴν τῶν θυμιαμάτων ἤριζεν ὀδμήν. Τὸ δὲ πνεῦμα ἀναπεμπόμενον εἰς τὸν ἀέρα, τὴν ὀδμὴν ἐκεράννυεν, καὶ ἦν ἄνεμος ἡδονῆς». (Τάτ. βιβλ. Β', κεφ. 15). Πρβλ. ἀντίστοιχον τῷ παρόντι χωρίον ἐν Α 2876 ἑξ. βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι, ὡς καὶ προσθήκας τῆς ὑποσημ. Α 2876 ἑξ. ἐν σελ. 272 τοῦ α' τόμου τοῦ παρόντος ἔργου, ἐν τέλει.

μόσχοι νίται καὶ ἄμβαρα, καμφοραὶ καὶ κασσίαι
καὶ ἦν πλείστη ἡ ἡδονὴ καὶ ὀσμὴ εὐφροσύνης·
τοσαύτην ὁ παράδεισος τὴν τερπνότητα εἶχεν.
[§ 380] Ἐν ὥρᾳ τῇ μεσημβρινῇ πρὸς ὕπνον ἀνετράπην,
ῥοδόσταμμα τῆς εὐγενοῦς ῥαντιζούσης με κόρης,
ἀδονίδων καὶ τῶν λοιπῶν ὀρνίθων μελῳδούντων. 48β
[§ 381] Ἡ δὲ κόρη διψήσασα πρὸς τὴν πηγὴν ἀπῆλθε·
καί, ὡς ἐκεῖσε ἔβρεχε τοὺς πόδας τερπομένη,
δράκων, μορφώσας ἑαυτὸν εἰς εὐειδὲς παιδίον,
πρὸς αὐτὴν παρεγένετο, βουλόμενος πλανῆσαι·
ἡ δὲ τὸν ὄντα οὐδαμῶς ἀγνοήσασα, ἔφη.
[§ 382] «Ἄφες, δράκον, ὃ βούλεσαι· ἐγὼ οὐκ ἀπατοῦμαι,
»ὁ φιλῶν μὲ ἠγρύπνησε καὶ ἀρτίως καθεύδει».
Ἔλεγε γὰρ ἐν ἑαυτῇ· «Δράκων οὗτος ὑπάρχει,
»πώποτε οὐ τεθέαμαι ὧδε τοιαύτην ὄψιν».
«Εἰ ἐγερθῇ καὶ εὕρῃ σε, νὰ σὲ κακοδικήσῃ».
[§ 383] Ὁ δὲ πηδήσας ἀναιδῶς βιάζειν ἐπεχείρει·
καὶ φωνὴν ἔπεμπεν εὐθὺς καλοῦσα με ἡ κόρη·
«Ἐξύπνησον, αὐθέντα μου, καὶ λάβε τὴν φιλτάτην».
Τῆς δὲ φωνῆς εἰς τὴν ἐμὴν καρδίαν ἠχησάσης,
τάχιον ἀνεκάθησα καὶ τὸν ὀχλοῦντα εἶδον·
ἄντικρυς γάρ μου ἡ πηγὴ ἦν ἐξεπιτηδείως,
καὶ ἐξελκύσας τὸ σπαθὶν εἰς τὴν πηγὴν εὑρέθην,
οἱ γὰρ πόδες μου ἔτρεχον ὡς πτέρυγες ὀξέως.
[§ 384] Καὶ τοῦτον τε καταλαβών, φάντασμά μοι ἐδείκνυ
φρικῶδες τε καὶ φοβερὸν ἐν ἀνθρώποις καὶ μέγα,
τρεῖς εὐμεγέθεις κεφαλὰς πυρφλογιζούσας ὅλως·
ἐξ ἑκατέρων ἔπεμπεν ἐξαστράπτουσαν φλόγα·
ἐκ τόπου δὲ κινούμενος βροντῆς ἦχον ἐτέλει,
ὥστε δοκεῖν σαλεύεσθαι γῆν τε καὶ πάντα δένδρα.
Σῶμα παχύνων, κεφαλὰς εἰς ἓν ἐπισυνάγων,
ὄπισθεν λεπτυνόμενος καὶ οὐρὰν ἀποξύνων, 49α
ποτὲ μὲν συστελλόμενος, ἐξαπλούμενος δ' αὖθις,
καὶ ἐπάνω μου ἅπασαν τὴν ὁρμὴν ἐποιεῖτο.
[§ 385] Ἐγὼ δέ, τὰ ὁρώμενα ἀντ' οὐδενὸς νομίσας,
εἰς ὕψος ὅλῳ τῷ θυμῷ τὸ σπαθὶν ἀνατείνας,
εἰς κεφαλὰς κατήγαγον θηρὸς τοῦ δεινοτάτου,

40 πλείστη ἡδονή,—65 τρεῖς κεφαλὰς εὐμεγέθεις πυρφλ.—

47 ἑξ. Περὶ τῆς μεταμορφώσεως τοῦ δράκοντος καὶ τῆς πάλης αὐτοῦ μετὰ τοῦ Διγενοῦς βλέπε ὑποσημ. Α 2886 ἑξ. Πρβλ. ὡσαύτως καὶ ἀντίστοιχον τῷ παρόντι χωρίον ἐν Ε 1109 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.

καὶ ἁπάσας αἰρῶ ὁμοῦ· ὃς καὶ πρὸς γῆν ἡπλώθη,
ἄνω καὶ κάτω τὴν οὐρὰν κινῶν τὰ τελευταῖα.
[§ 385] Καὶ ἀπομάξας τὸ σπαθὶν καὶ βαλὼν εἰς τὴν θήκην,
πόρρωθεν ὄντας τοὺς ἐμοὺς προσεκαλούμην παῖδας,
καὶ ἀρθῆναι προσέττατον τὸν δράκοντα εὐθέως.
Ὡς δὲ τοῦτο ἐγένετο ταχέως ὑπὲρ λόγον,
οἱ παῖδες μὲν ἀπέτρεχον εἰς τὰς ἰδίας τένδας
ἐπὶ τὴν κλίνην δὲ κἀγὼ ὑπνωσσόμενος αὖθις,
ἡδὺς γὰρ ὃν ἐκάθευδον εἷλκε με πάλιν ὕπνος·
οὔπω γὰρ τούτου κορεσθεὶς ἀφύπνωσα τὸ πρῶτον.
[§ 387-388] Ἡ δὲ κόρη πρὸς γέλωτα ἄμετρον κινηθεῖσα,
φαντάσματα τοῦ δράκοντος φέρουσα ἐπὶ μνήμης
καὶ τὸν σύντομον θάνατον, ἐκείνου τοῦ μεγέθους,
πρὸς τὸ μὴ ἐξυπνῆσαι με ἐξῆλθε πρός τι δένδρον,
παρηγορίαν τε λαβεῖν μικρὰν ἀπὸ τοῦ φόβου.
Καὶ ἰδοὺ λέων φοβερὸς ἐξῆλθε ἐκ τοῦ ἄλσους,
ὃς πρὸς τὴν κόρην καὶ αὐτὸς τὴν ὁρμὴν ἐποιεῖτο·
ἡ δὲ φωνὴν ἐξέπεμψε βοηθόν με καλοῦσα·
καὶ ἐπακούσας τάχιστα ἐπανέστην τῆς κλίνης.
[§ 389] Καὶ ὡς εἶδον τὸν λέοντα συντόμως εἰσπηδήσας,
φέρων ῥάβδον ἐν τῇ χειρὶ τοῦτον εὐθὺς ἐκπίπτω,
πατάξας δὲ εἰς κεφαλήν, ἔθανε παραχρῆμα· 49β
ὡς δὲ καὶ οὗτος μήκοθεν ἐρρίφθη τε ὁ δράκων.
[§ 390] Ἡ κόρη μου εἰς ἑαυτὴν καθώρκισεν εἰποῦσα
«Ἄκουσόν μου, αὐθέντα μου, νὰ μὲ ἐπιχαρείῃς,
»ἔπαρον τὴν κιθάραν σου, κροῦσον αὐτὴν ὀλίγον
»μεταβαλὼν μου τὴν ψυχὴν ἐκ τοῦ θηρὸς τοῦ φόβου».
[§ 391-392 ✱] Καὶ ὡς οὐκ ἦν μοι δυνατὸν παρακοῦσαι τῆς
ταύτην ἀνέκρουον, εὐθύς, ἡ δὲ ἐνετραγῴδει· ⟨κόρης,
«Εὐχαριστῶ τῷ ἔρωτι γλυκὺν δόντι μοι κύρκαν,
»καὶ χαίρω βασιλεύουσα, μηδένα φοβουμένη,
»κρίνον ὑπάρχει εὐθαλές, μῆλον μεμυρισμένον,
»καὶ ὡς ῥόδον πανεύοσμον θέλγει μου τὴν καρδίαν».
Ὡς δὲ τὸ ῥόδον ἔλεγεν ἡ κόρη μελῳδοῦσα,
ἐνόμιζον ὅτι κρατεῖ ῥόδον ἐπὶ τὰ χείλη,

84 ἡδὺς γὰρ ὢν ἐκάθευδον. Διώρθωσα κατὰ Α 2924 (1963).—99 Ἡ κόρη εἰς ἐμαυτήν. Διώρθωσα κατὰ Α 2944 (1982) ἑξ.

8 ἑξ. Πρβλ. διαφορὰς εἰς ἀντίστοιχον τῷ παρόντι χωρίον ἐν Α 2925 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.
91 ἑξ. Πρβλ. ἀντίστοιχ. τῷ παρόντι χωρίον ἐν Α 2930 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι, ἔνθα σημειοῦνται καὶ ἄλλαι παραπομπαὶ ἀναλόγων κατορθωμάτων τοῦ Διγενοῦς.
109 ἑξ. Πρβλ. ἀνάλογα χωρία ἐν Κδ 33 ἑξ., Α 2871 ἑξ. καὶ ταυτάρ. ὑποσημ.

ἐοίκασι γὰρ ἀληθῶς ἄρτι ἀνθοῦντι ῥόδῳ.
[§ 393] Τῆς δὲ κιθάρας ἡ ᾠδὴ καὶ ἡ φωνὴ τῆς κόρης
ἦχον τερπνὸν ἀνέπεμπον, ὀρέων ἀντηχούντων,
ὡς καὶ τοὺς ὄντας μήκοθεν αἰσθάνεσθαι τοῦ μέλους.
[§ 394 ✱] Καὶ τοῦτο ἐπεγνώκαμεν ἐκ τούτου τοῦ σημείου·
κατὰ τύχην διήρχοντο, ἐν ἐκείνῃ τῇ ὥρᾳ
στρατιῶται ἐν τῇ ὁδῷ τῇ καλουμένῃ Τρώσει,
ἐν ᾗ πολλοὺς συμβέβηκε πολλὰ τραυματισθῆναι.
καὶ δῆλον ἐκ τὸ ὄνομα ὃ εἴληφεν ὁ τόπος.
Ὑπῆρχον δέ, ὡς ὕστερον παρ' αὐτῶν τοῦτο ἔγνων,
Ἰωαννάκης θαυμαστὸς καὶ νέος ἀπελάτης, 50α
Φιλοπαπποῦς ὁ γέρων τε καὶ ὁ Κίνναμος ὁ τρίτος·
καί, ὡς ᾤχοντο τῆς ὁδοῦ, ἤκουσαν τῶν ᾀσμάτων,
μίλλιον ἓν ἀπέχοντες ἀφ' ἡμῶν, ὡς εἰκάζω,
καὶ ταύτης ἐκστρατήσαντες ἦλθον ἡμῶν πλησίον.
[§ 395] Καὶ ὡς μόνην ἐσκέψαντο τὴν περίβλεπτον κόρην,
ὡς ὑπὸ βέλους τὰς ψυχὰς ἐτρώθησαν τῷ κάλλει,
καὶ εἰς ἔρωτα ἄπειρον ἐκινήθησαν πάντες,
σῴζοντες τεσσαρακοστὸν ἀριθμὸν πρὸς τοῖς πέντε,
ἐμὲ δὲ μόνον βλέποντες λόγοις ἤλπιζον τρῶσαι·
«Ἄφες τὴν κόρην, λέγοντες, καὶ σῶσον ἑαυτόν σου·
»εἰ δ' οὔ, κερδίσῃς θάνατον, ἀπείθειαν ὡς ἔχων».
[§ 396] Ἀκμὴν γὰρ οὐκ ἠπίσταντο ποῖος ἄρα τυγχάνω.
Ἡ δὲ ἡλιογέννητος ἄφνω τούτους ἰδοῦσα
ἁρματωμένους ἅπαντας ἐφ' ἵππους καθημένους,

129 σῴζοντες τὸν τεσσαρακοστὸν ἀριθμὸν πρὸ τῶν πέντε,—

117 ἑξ. Ἡ ἐν προκειμένῳ ἐτυμολογία τῆς Τρώσεως εἶναι ἐντελῶς ἀστήρικτος καὶ ἐξεζητημένη. Τὴν Τρῶσιν ταυτίζει ὁ Grégoire πρὸς τὴν ὑπὸ τοῦ Στεφάνου Βυζαντίου ἀναφερομένην Τάρσαν παρὰ τὸν Εὐφράτην ἔνθα σήμερον ἡ τουρκικὴ κωμόπολις Τρούς, τοῦ βιλαετίου Οὔρφα (Ὀσροηνῆς Ἐδέσσης). Βλέπε σχετικῶς ὑποσημ. Α 3378.

121 ἑξ. Περὶ Ἰωαννάκη ἢ Ἰωαννικίου, Φιλοπάππου καὶ Κιννάμου βλέπε ἐν τοῖς Εὑρετηρίοις ἀμφοτέρων τῶν τόμων, ὡς καὶ ὑποσημ. Α 1333, Α 1640, Α 3133 κλπ.

129. Πρβλ. διαφορὰς ἀντιστοίχ. τῷ παρόντι χωρίου ἐν Α 2979 ἑξ., ἔνθα οἱ ἀπελάται φέρονται συμποσούμενοι εἰς τριακοσίους. Βλέπε σχετικῶς καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι. Πρβλ. ὡσαύτως ἐν Α 2967 καθὼς καὶ Ε 1158.

133 ἀκμὴν=ἀκόμη. Δὲν εἶναι μεσαιωνικόν, ἀλλ' ἀπαντᾷ καὶ παρ' ἀρχαίοις. Πρβλ. Ξενοφ. Ἀνάβ. 4,3,26 καὶ παρ' Ἀριστοτέλῃ. Βλέπε Δημητρ. Λεξ. Πρβλ. καὶ ἐν Ν. Ἑλληνομν. ΙΒ' 371, ΙΓ' 137, ὡς καὶ Krumbacher ἐν Byz. Ztschr. XXVII 498 ἑξ. καὶ XXIX 188 ἑξ.

134 ἡλιογέννητος. Βλέπε ἀντίστοιχον τῷ παρόντι χωρίον ἐν Α 2984 ἑξ. καὶ ταυτάριθμον ὑποσημ. αὐτόθι. Βλέπε ὡσαύτως καὶ ἐν τοῖς προηγουμένοις ἐν Κδ 350 καὶ Κδ 807 καὶ ταυταριθμ. ὑποσημειώσεις.

λόγοις αὐτῶν πιστεύσασα ἐδειλίασε σφόδρα,
καὶ τῇ ὀθόνῃ τὰς αὐτῆς καλυψαμένη ὄψεις,
ἐπὶ τὴν τένδαν ἔδραμε, παντελῶς φοβηθεῖσα.
[§ 397] Ἐγὼ δὲ ἔφην πρὸς αὐτήν· «Τί οὐ λαλεῖς, φιλτάτη;»
«Ὅτι, φησί, πρὸ τῆς ψυχῆς τέθνηκεν ἡ φωνή μου·
»Ἰδοὺ γὰρ χωριζόμεθα καὶ ζῆν οὐ θέλω φέρειν».
«Παῦσε, ἔφην, ψυχὴ ἐμή, λογίζεσθαι τοιαῦτα·
»οὓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωποι οὐ χωρίσουν».
[§ 398] Εὐθὺς τὴν ῥάβδον εἴληφα καὶ τὸ χειροσκουτάριν,
ὡς ἀετὸς πρὸς πέρδικας ἀφ' ὕψους ἐκπετάσας,
ὅσους ἡ ῥάβδος ἡ ἐμὴ ἔφθασε τοῦ προσψαῦσαι,
ζωῆς ἐν τούτοις λείψανον οὐδαμῶς ὑπελείφθη.
[§ 399] Πολλοὶ δὲ θέλοντες φυγεῖν, κατελάμβανον
⟨τούτους, 50β
οὐ γὰρ ἐνίκησεν ἐμὲ ἵππος ποτὲ εἰς δρόμον.
Καὶ οὐ σεμνύνων ἐμαυτὸν ταῦτα διαγορεύω,
ἀλλ' ἵνα καταμάθητε τὰς δωρεὰς τοῦ Πλάστου.
[§ 400] Τινὲς δέ με ἐλάνθανον εἰς βάλτα κρυβηθέντες·
καί, πρὶν ὀλίγον ἅπαντας θανάτῳ παραδῶσαι,
ἕνα ζωγρήσας μοναχὸν παρ' οὗ ἔμαθον τίνες
ὑπῆρχον οἱ ἀσύνετοι καὶ παράφρονες οὗτοι,
καὶ ὑπερζέσας τῷ θυμῷ οὐδενὸς ἐφεισάμην.
[§ 401] Εἶθ' οὕτως ῥίπτω τὸ σπαθὶν καὶ τὸ
⟨χειροσκουτάριν,
καὶ τὸ μανίκιν ἔσειον καὶ πρὸς τὴν κόρην ἦλθον.
Ἡ δὲ κόρη, ὡς εἶδε με μόνον περιλειφθέντα,
ἐξῆλθεν εἰς ἀπάντησιν χαρᾶς ἐμπεπλησμένη,
καὶ ῥοδόσταμμα ἔρριπτε μὲ τὰς ἰδίας χεῖρας,
φιλοῦσα μου τὴν δεξιὰν καὶ ζῆν ἐπευχομένη.
[§ 402] Κἀγὼ ταύτης βουλόμενος τὸ δέος ὀνειδίσαι,
λόγους μεθ' ὑποκρίσεως ἐρωτικοὺς ἐκίρνων·
«Μὴ γὰρ ἐγὼ πρὸ τοῦ παθεῖν ὥσπερ σὺ ἀποθνήσκω;»
Ἡ δὲ συνιεῖσα ἃ λαλῶ γλυκερῶς ἐμειδία·
«Τὸ πλῆθος εἶδον, λέγουσα, τῶν ἱππέων ἐξαίφνης
»ἁρματωμένους ἅπαντας, σὲ δὲ πεζὸν καὶ μόνον
»ἐπὶ τούτῳ αὐθέντα μου, ὁ φόβος μοι ἐπῆλθε».
[§ 403] Καὶ μύρια φιλήσαντες ἤλθομεν εἰς τὴν τένδαν,

153 θανάτῳ παραδώσας—170 Καὶ μυρία φιλήσαντας

137. Πρβλ. ἀντιστοιχ. τῷ παρόντι χωρίον ἐν Α 2987 καὶ ταυτάριθμ. ὑποσημ.

158. Καὶ τὸ μανίκιν ἔσειον. Πρβλ. ἀντίστοιχα τῷ παρόντι χωρία ἐν Α 3012 ἑξ. καὶ Ε 1185 ἑξ. Βλέπε δὲ καὶ ταυταρίθμους ὑποσημ. αὐτόθι.

καὶ τῇ ἑξῆς πρὸς ποταμὸν λουθῆναι ἀπηρχόμην,
ὅπως ἀλλάξω τὴν στολὴν τὴν αἵματι χρανθεῖσαν·
καὶ τῇ κόρῃ παρήγγειλα ἑτέραν ἀγαγεῖν μοι.
Καὶ δὴ παραγενόμενος τοῦ ὕδατος πλησίον,
ἐπί τι δένδρον καθεσθεὶς τὴν κόρην ἐκδεχόμην. 51α
[§ 404] Καὶ ἰδοὺ τρεῖς ἀνέφανον ὡραῖοι καβαλλάροι,
στολάς τε ἀνεφέροντο ἄμφω παρηλλαγμένας,
καὶ πρὸς ἐμὲ ἀνήρχοντο τὸν ποταμὸν κρατοῦντες·
εἶδον γάρ με καθήμενον εἰς τοῦ δένδρου τὴν ρίζαν,
καὶ πλησίον γενόμενοι ἐχαιρέτησαν πάντες,
ἐγὼ δὲ οὐκ ἠγέρθην τους, ἀλλ' ἐκαθούμην μᾶλλον.
[§ 405] «Μὴ στρατιώτας, ἀδελφέ, οἵους ἐνταῦθα εἶδες;»
Κἀγὼ ἀντέφην πρὸς αὐτοὺς μὴ δειλιάσας ὅλως·
«Ναί, εἶδον, ἔφην, ἀδελφοί, κατὰ τὴν χθὲς ἡμέραν,
»ἤθελον γὰρ καὶ τὴν ἐμὴν γαμετὴν ἀφαρπάσαι,
»καί, μὰ τὸν λόγον τοῦ Θεοῦ, οὐδὲ ἵππου ἐπέβην·
»τί δὲ αὐτοῖς συμβέβηκε γνώσεσθε μετὰ ταῦτα».
[§ 406] Οἱ δὲ ταῦτα ἀκούσαντες ἐθεώρουν ἀλλήλους,
πρὸς αὐτοὺς ψιθυρίζοντες, χείλη κινοῦντες μόνα·
«Μὴ οὗτος ἔνι ὃν λέγουσι Βασίλειος Ἀκρίτης;
»ἀλλὰ πάντως γνωσόμεθα δοκιμάσαντες τοῦτον».
Καὶ λέγει μοι ὁ πρόκριτος· «Πῶς ἔχομεν πιστεῦσαι
»ὅτι μόνος καὶ ἄοπλος, πεζός, καθάπερ λέγεις,
»μετ' αὐτῶν κατετόλμησας μάχην ἐπισυνάψαι;
[§ 407] »Ἅπαντας γὰρ δοκιμαστοὺς εἴχομεν ἐν ἀνδρείᾳ·
»ἀλλ' εἴπερ λέγεις ἀληθῆ, φάνηθι ἐκ τῶν ἔργων,
»ἕνα ἔκλεξον ἀφ' ἡμῶν τῶν τριῶν ὅνπερ βούλει,
»καὶ μονομάχησον αὐτῷ καὶ γνωσόμεθα πάντες».
Καὶ μειδιάσας πρὸς αὐτοὺς ἐγὼ ἀνταπεκρίθην·
[§ 414] «Εἰ βούλεσθε, πεζεύσατε καὶ δεῦτε οἱ τρεῖς εἰς ἕνα,
»εἰ δ' ἴσως οὐκ αἰσχύνεσθε, δεῦτε καὶ καβαλλάροι,
»καὶ ἐκ τῶν ἔργων μάθετε ποῖος ἄρα τυγχάνω 51β
»καί, εἰ δοκεῖς, ἀρξώμεθα τῆς μάχης ἀπεντεῦθεν».
[§ 415] Ῥαβδὶν λαμβάνω σύντομα, ὄρθιος ἐγενόμην,

187 τίς δὲ αὐτοῖς συμβέβηκε—198 καὶ γνωσόμεθα πάντως. (Π ρβλ ἀνωτέρω στίχ. Κστ. 191).—

177. στολὰς παρηλλαγμένας. Βλέπε ὑποσημ. Κβ 268, πρβλ. καὶ ἀντίστοιχον χωρίον ἐν Α 3037 καὶ ταυτάριθμ. ὑποσημ., ὡς καὶ ἐν τοῖς Εὑρετηρίοις ἀμφοτέρων τῶν τόμων ἐν λέξ. παρηλλαγμένος καὶ ἐξηλλαγμένος.
199. Πρβλ. ἀντίστοιχον τῷ παρόντι χωρίον Α 3065 ἑξ. μεθ' ὃ παρεμβάλλεται ἡ διήγησις τοῦ Ἀκρίτου περὶ τοῦ Ἀγκύλα ἐν Α 3068-3120. Ἡ διήγησις αὐτη δὲν ἀπαντᾷ εἰς τὸ κείμενον τῆς παρούσης διασκευῆς.

καὶ τὸ χειροσκουτάριν μου, καὶ γὰρ ἐκράτουν ταῦτα,
καὶ πρὸς ὀλίγον προσελθὼν «Εἰ κελεύετε», ἔφην.
[§ 416] Καὶ ὁ πρῶτος ἐφώνησεν· «Οὐ ποιοῦμεν ὡς λέγεις,
»ἡμεῖς ἔθος οὐκ ἔχομεν ἐλθεῖν οἱ τρεῖς εἰς ἕνα,
»οἱ θαρροῦντες μετακινεῖν ὁ καθεὶς χιλιάδας·
»ἐγὼ γὰρ ὁ Φιλοπαπποῦς εἰμὶ ὅνπερ ἀκούεις,
»Ἰωαννάκης οὗτος δὲ καὶ καὶ Κίνναμος ὁ τρίτος,
»καὶ αἰσχυνόμεθα οἱ τρεῖς πολεμῆσαι εἰς ἕνα·
»ἀλλ' ἐπίλεξον ἀφ' ἡμῶν ἕνα οἷον κελεύεις».
Κἀγὼ «Ναί», ἔφην πρὸς αὐτούς, «Δεῦρο λοιπὸν ὁ πρῶτος».
[§ 417] Καὶ εὐθὺς ὁ Φιλοπαπποῦς κατῆλθεν ἐκ τοῦ ἵππου,
σπαθὶν ἀράμενος αὐτοῦ ἅμα καὶ τὴν ἀσπίδα,
τρανῶς εἰσῆλθε πρὸς ἐμὲ πτοῆσαι με ἐλπίζων·
εἶχε καὶ γὰρ ὡς ἀληθῶς ὁρμὴν ἀνδρειοτάτην,
καὶ σπαθέαν μου δώσαντος τρανὰ εἰς τὸ σκουτάριν,
ἐν τῇ χειρὶ τὸ κράτημα μόνον μοι ἀπελείφθη.
Οἱ δύο ἀντεφώνησαν ἄντικρυς καθορῶντες·
«Ἄλλην μίαν, Φιλοπαπποῦ γέρον μου, τὸν ἐπίθες».
[§ 418] Ὁ δὲ αὖθις βουλόμενος τὴν σπάθην ἀνατεῖνα
τῇ ράβδῳ κατὰ κεφαλῆς τοῦτον ἐγὼ πατάσσω,
καί, εἰ μὴ ταύτην ἐφύλαττε καθόλου τὸ σκουτάριν,
σῶον οὐκ ἔμενεν ὀστοῦν ἐν αὐτῇ τὸ παράπαν.
Ὅμως ὁ γέρων τραλλισθείς, κατὰ πολὺ τρομάξας,
βοῦς ὥσπερ μυκησάμενος, ἐπὶ τὴν γῆν ἡπλώθη.
[§ 419-420] Καὶ τοῦτο θεασάμενοι οἱ ἕτεροι ὡς εἶχον 52α
καβαλλάροι ἐπάνω μου ἤρχοντο παραχρῆμα,
μηδαμῶς αἰσχυνόμενοι, ὡς πρώην ἐκαυχῶντο.
Τούτων ὡς εἶδον τὴν ὁρμήν, ἁρπάζω τὸ σκουτάριν
ἀπὸ χειρῶν τοῦ γέροντος, καὶ πρὸς αὐτοὺς ἐκτρέχω.
Γεναμένης δὲ συμπλοκῆς καὶ ἐνστάτου πολέμου,
ὁ μὲν Κίνναμος ὄπισθεν ἔσπευδε τοῦ λαθεῖν με,
Ἰωαννάκης ἔκρουεν εὐθέως καὶ συντόμως,
καὶ τότ' εἶδον πολεμιστὰς ὡς ἀληθῶς δοκίμους.
[§ 421] Ἀλλ' οὐδεὶς τούτων ἴσχυσεν ἐμοὶ περιγενέσθαι·
καὶ γάρ, ἡνίκα τὴν ἐμὴν ἀπετίνασσον ράβδον,
ὅλοι ὡς ἀπὸ λέοντος ἔφευγον ἐναντίον,

211 Ἰωαννάκην οὗτος δὲ—214 «Ναί, ἔφην Παραλείπεται ἡ λέξις «Κἀγὼ» ἐν ἀρχῇ. Διώρθωσα κατὰ Α 3139 (2141).

210 ἑξ. Περὶ Φιλοπαπποῦ, Ἰωαννάκη καὶ Κιννάμου βλέπε ὑποσημ. ἐν Α 1333, Α 1640, Α 3133, Κστ 121, ὡς καὶ ἐν τοῖς Εὑρετηρίοις ἀμφοτέρων τῶν τόμων.

ὡσεὶ πρόβατα μήκοθεν ἐμὲ περισκοποῦντες,
καὶ αὖθις πάλιν ἤρχοντο ὡς κύνες ὑλακτοῦντες.
[§ 422] Ὡς δὲ οὕτως ἐγένετο ἐφ' ὥραν οὐκ ὀλίγην,
καὶ ἡ κόρη κατέλαβε, πλὴν ἵστατο μακρόθεν,
ἀντικρὺς ἐξεπίτηδες τοῦ παρ' ἐμοῦ ὁρᾶσθαι.
[§ 423-424] Καὶ ὡς εἶδε κυκλοῦντας με τοὺς δύο ὡσεὶ κύνας,
λόγον μοι ἐνετόξευσεν ἐπίκουρον εἰποῦσα·
«Ἀνδρίζου, ὦ παμφίλτατε!» Καὶ εὐθὺς σὺν τῷ λόγῳ,
ἰσχὺν ἀναλαβόμενος, πλήττω τὸν Ἰωαννάκην
ἐν τῇ χειρὶ τῇ δεξιᾷ ἄνωθεν τοῦ ἀγκῶνος,
τὰ ὀστᾶ συνετρίβησαν, ἡ χεὶρ ὅλη ἡπλώθη,
καὶ τὸ σπαθὶν ἐπὶ τὴν γῆν πέπτωκε παραχρῆμα·
ὀλίγον δέ μου παρελθὼν πέπτωκεν ἐκ τοῦ ἵππου,
καὶ εἰς τὴν πέτραν ἀκούμπησεν, ἐχόμενος τοῦ πόνου.
Βουληθεὶς δὲ ὁ Κίνναμος μόνος ἀνδραγαθῆσαι, 52β
ἄνω καὶ κάτω τὸν αὐτοῦ ἵππον ἐπιλαλήσας,
τεθαρρηκὼς ὁ δείλαιος τὸν λέοντα πτοῆσαι,
ὡς πρὸς ἐμὲ κατήρχετο σὺν τῷ ἰδίῳ ἵππῳ.
[§ 425] Ραβδέαν τοῦτον ἔπληξα μέσον τῶν δύο ὤμων,
ἀφ' ὧν αἷμα ποταμηδόν, ἔρρεε παραχρῆμα
ἔκ τε κροτάφων καὶ αὐτοῦ τοῦ στόματος τοῦ φάρα,
καὶ αὐτίκα συμποδισθεὶς πίπτει σὺν τῷ Κιννάμῳ·
τὸν δὲ φόβος ἐλάμβανε καὶ δειλία συνεῖχε,
νομίζων ὅτι κείμενον θέλω αὐτὸν πατάξαι.
Λέγω δ' ἐγώ τε, πρὸς αὐτόν· «Ὦ Κίνναμε, τί τρέμεις;
»τὸν πεσόντα οὐδέποτε ἔθος ἔχω τοῦ κρούειν·
»ἀλλ', εἰ βούλει, ἀνάστηθι καὶ λάβε σου τὰ ὅπλα,
»καὶ δώσομεν εἰς πρόσωπον, ὡς δοκεῖ τοῖς ἀνδρείοις,
»τὸ δὲ πατάσσειν πτώματα τοῖς ἀδρανέσι πέλει».
[*] Ἐκεῖνος δὲ τοῖς νεύμασιν, ὑποταγὴν ἐδείκνυ,
οὐκ ἴσχυε γὰρ τοῦ λαλεῖν ἐχόμενος τοῦ τρόμου·
ἐκεῖ τοῦτον ἀφέμενος ὄπισθεν ἐστρεφόμην.
[§ 427] Καὶ ὁρῶ τὸν Φιλοπαπποῦν εἰς ἑαυτὸν ἐλθόντα,
κινοῦντα τε τὴν κεφαλὴν καὶ λέγοντα τοιαῦτα·

246 κυκλοῦντας τοὺς δύο. Διώρθ. κατὰ Α 3180 (2180)—249 πλήττει—

267. Πρβλ. ἀντίστοιχ. τῷ παρόντι χωρίον ἐν Α καὶ δὴ ἐν στίχ. Α 3197, μετὰ τὸν ὁποῖον παρεμβάλλεται τὸ ἐν Α 3198-3203 ἐπεισόδιον πάλης τοῦ Διγενοῦς μετὰ τοῦ Κιννάμου ἐπανεγειρομένου ἐν τῷ μεταξὺ ἀλλὰ καὶ πάλιν καταχρημνιζομένου ὑπὸ τοῦ Ἀκρίτου. Τὸ ἐπεισόδιον τοῦτο τὸ ὁποῖον δὲν ἀπαντᾷ εἰς τὸ κείμενον τῆς παρούσης διασκευῆς εὕρηται ὡσαύτως καὶ ἐν Ε 1281-1287. Βλέπε σχετικῶς ὑποσημ. Α 3203 καὶ Ε 1285.

«Μὰ τὸν Θεὸν τὸν ποιήσαντα οὐρανὸν καὶ γῆν πᾶσαν,
»τὸν σὲ κατακοσμήσαντα τοῖς χαρίσμασι πᾶσι,
»κατάλειπε τὸν πόλεμον καὶ ποίησον ἀγάπην,
»καὶ δοῦλοι σου ἐσόμεθα, εἴπερ αὐτὸς κελεύεις,
»παρὰ σοῦ προστασσόμενοι καὶ ποιοῦντες ἀόκνως».
[§ 428] Ὡς ταῦτα φίλα ἤκουσα κατηλέησα τούτους, 53α
πραΰνουσι γὰρ τὸν θυμὸν ὑποπίπτοντες λόγοι,
καὶ μειδιάσας πρὸς αὐτὸν μετ' εἰρωνείας ἔφην·
«Φιλοπαπποῦ, ἐξύπνησας καὶ ὁράματα λέγεις·
»ἀλλ' ἐπεὶ εἰς κατάνυξιν μετέστρεψας τὸ γῆρας,
»ἀνάστα, λάβε τοὺς σὺν σοί, ἄπελθε ὅπου βούλει,
»οἰκείους ἔχων ὀφθαλμοὺς μάρτυρας τοῦ πραχθέντος,
»καὶ οὓς ζητεῖτε πίστευσον νὰ λείψουν ἐκ τὸ ἀδνούμιν.
[§ 429] »Ἄρχειν δὲ οὐκ ἐφίεμαι, ἀλλὰ μόνος διάγειν,
»ἐπειδὴ καὶ μονογενὴς πέφυκα τοῖς γονεῦσιν·
»ὑμῖν δὲ ἄρχειν ἔξεστι καὶ συνεργεῖν ἀλλήλοις
»ἐφ' οἷς ἔχετε δυνατὸν ποιεῖσθαι καὶ τὰ κούρση·
»καί, εἰ πολλάκις θέλετε πάλιν με πολεμῆσαι,
»ἄλλους ἀνθολογήσατε ἐκ νέου ἀπελάτας
»τοὺς μὴ εἰδότας πεῖραν μου, μηδὲ γινώσκοντάς με
»εἶδον γὰρ ὅσοι πεῖραν μου ὑμῖν οὐ συνεργήσουν».
[§ 430] Καὶ ἐχάρη ὁ Φιλοπαπποῦς δεξάμενος τὴν λύσιν,
καὶ ἐφώνει τοῖς μετ' αὐτοῦ λύτρωσιν ἐκμηνύων·
οὐδεὶς γὰρ τούτων ἤλπιζε ζωῆς ἀξιωθῆναι,
ἀλλ' εἶχον ἤδη τὰς ψυχὰς πρὸς πύλας τοῦ θανάτου.
[§ 431] Καί, ὡς ἤκουσαν τῆς φωνῆς, ἀνελάμβανον ταύτας,
καὶ τὸ στόμα διήνοιγον πλεῖστα εὐχαριστοῦντες·
«Ὄντως εἴδομεν, λέγοντες, ἔργα νικῶντα φήμην,
»καὶ τὴν σὴν ὑπεράνθρωπον μεγίστην εὐσπλαγχνίαν,
»ἣν οὐδεὶς ἐπεδείξατο ἐν τῷ παρόντι βίῳ,
»καὶ ἀντιδώη σοι Θεὸς ἀντάξια τῆς γνώμης 54α
»μείζονα τὰ χαρίσματα καὶ ζῆν μετὰ συμβίου
»εἰς ἀπεράντους χρόνους τε τερπόμενοι ἀλλήλοις».
[§ 432] Εἶτα τὴν πολυώραιαν λαβὼν ἐν ταῖς ἀγκάλαις,
πόρρωθεν ἐκαθέσθημεν ὑποκάτω εἰς δένδρον,
οὐρανοῦ μέσον ἥλιος ἀπάρτι διατρέχων.
[§ 433] Ἐκεῖνοι δὲ συνήχθησαν οἱ τρεῖς εἰς ἕνα τόπον,
καὶ θαυμάζοντες ἔλεγον οἱ δύο πρὸς ἀλλήλους
νεωτέρας οἱ ἄγοντες ἡλικίας καὶ φρένας·

275 «Τὸν Θεόν, Παραλείπεται ἡ λέξις «Μὰ» ἐν ἀρχῇ.—283 καὶ ὁράματα βλέπεις + λέγεις·—302 Ὄντως εἴδομεν ἔργα νικῶντα φήμην. Διώρθωσα κατὰ Α 3237—304 ἣν οὐδεὶς ὑπεδείξατο—308 πολυωραίαν—

«Ὄντως λίαν τὸ ὁραθὲν καὶ παράδοξον ξένον,
»ἄνθρωπος ἄοπλος, πεζός, ῥάβδον κατέχων μόνην,
»ἡμᾶς τοὺς ἐν τοῖς ἅρμασι καλῶς καθωπλισμένους,
»τοὺς μυριάδας τρέψαντας καὶ πόλεις κατασχόντας,
»καθολικῶς ἐνίκησεν ὥσπερ τινὰς ἀπείρους,
»καὶ αἰσχύνης ἐνέπλησε καὶ δειλίας καὶ φόβου.
[§ 435] »Βέβαιον γόης πέφυκεν ἢ στοιχεῖον τοῦ τόπου,
»ἐπεὶ αὐτὸς ἀντ' οὐδενὸς ἡγεῖτο τὰς σπαθέας,
»καὶ ἀνυπόστατον θυμὸν εἶχεν ἐπὶ τὴν ῥάβδον.
[§ 436] »Εἰ γὰρ ὑπῆρχεν ἄνθρωπος ὥσπερ οἱ ἐκ τοῦ κόσμου,
»εἶχεν ἂν σῶμα καὶ ψυχήν, θάνατον ἐδεδοίκει,
»καὶ οὐ μὴ ὥσπερ ἄσαρκος ξίφεσι κατετόλμα·
»ἀλλὰ στοιχεῖον ἐκ παντὸς ἐτύγχανε τοῦ τόπου,
»καὶ φαντασία μεθ' ἡμῶν τὸν πόλεμον συνῆψε.
[§ 437] »Εἴδετε καὶ τὸ ἄπειρον κάλλος τῆς φαινομένης
»τηλαυγέστερον πέμπον τι ἡλιακῶν ἀκτίνων,
»καὶ ὥσπερ στήλη ἔμψυχος ἡμῖν νομιζομένη».
[§ 438] Ταῦτα καὶ τούτοις ὅμοια λέγοντες ἀσυνέτως,
ὁ γέρων ὁ Φιλοπαπποῦς γηραιὸν ἔφη λόγον· 54β
«Ταῦτα πάντα, ὦ τέκνα μου, εἰσὶ παραμυθίαι,
»περιγραφαὶ ἀτυχιῶν, ψυχῶν παρηγορίαι·
»ἐγὼ δὲ εἶδον ἀληθῶς δοκιμώτατον ἄνδρα,
»τοῖς τοῦ Χριστοῦ χαρίσμασι πᾶσι πεπλουτισμένον,
»κάλλος, ἀνδρείαν, φρόνησιν καὶ πολλὴν εὐτολμίαν,
»ἔχει καὶ δρόμον ἄπειρον τῶν ἀγαθῶν προσθήκην·
[§ 439] »Ἡμῖν δὲ τοῦτο γέγονε μόνον παρηγορία
»ὅτι οὐκ εὑρέθησαν τινὲς εἰς θέαν τοῦ πολέμου·
»ὄνομα δὲ ὃ εἴχομεν τὸ τῆς ἀνδρείας μέγα,
»τοῦτο νῦν ἀπωλέσαμεν ὑφ' ἑνὸς ἡττηθέντες·
»ἀλλ' εἴπερ θέλετε βουλήν, ὦ ἡμέτερα τέκνα,
»μηδαμῶς ἀμελήσωμεν τὴν ὕβριν ἐκδικῆσαι,
»ἀλλὰ παντοίους σπεύσωμεν ἐφευρεῖν τοὺς οἰκείους·
»εἰ γὰρ καὶ ἐκαυχήσατο, ἀλλ' οὐ πάντας ἀνεῖλε.
[§ 440] »Καί, εἰ θελήσῃ ὁ Θεὸς καὶ περισυσταθοῦμεν
»ἵνα τοῦ ἐπιπέσωμεν ἐν νυκτὶ ἀδοκήτως,
»καὶ εἰ κατάσχωμεν αὐτόν, ἀφαιρεθῇ ὁ πόνος,
»ὃν εἰς ψυχὰς κατέσπειρε τὰς ἡμῶν ὁ γεννάδας,
»καὶ ἡ κόρη εἰς ὄνομα σόν, Ἰωαννάκη ἔσται,

324 θανάτου ἐδεδοίκει,—

346. Πρβλ. διαφορὰς ἐν Α 3294 καὶ Ε 1345.
351. Πρβλ. ἀντίστοιχ. τῷ παρόντι χωρίον ἐν Α 3299-3300 καὶ ταυτάριθμ. ὑποσημ., ὡς καὶ ὑποσημ. 3387 ἑξ. Βλέπε καὶ περαιτέρω ἐν Κστ 415 ἑξ.

»ῥηθῆναι δὲ ἀμήχανον τὸ κάλλος της εἰκάζω·
»καὶ ἀληθῶς οὐδέποτε τοιοῦτον ἐν ἀνθρώποις
»κάλλος τις ἐθεάσατο, ὥσπερ ὑπολαμβάνω.
[§ 441] »Καὶ γὰρ πεντηκοστὸν ἐγὼ δεύτερον ἔτος ἄγω,
»πλείστας πόλεις διέδραμον χώρας τε οὐκ ὀλίγας,
»ἀλλ' ἡττήθησαν ἅπασαι, οἷα χορὸς ἀστέρων,
»ὁπηνίκα ὁ ἥλιος τὰς ἀκτῖνας ἐκτείνει· 55α
»ἀλλὰ θάρσει, παγκάλιστε, σοῦ τοῦ λοιποῦ ὑπάρξει».
Ταῦτα ὁ γέρων εἰρηκὼς καλῶς ἔδοξε λέγειν.
[§ 443] Καὶ ἀνῆλθον εἰς τὸν φανὸν τὴν σύναξιν ποιοῦντες,
τῇ δὲ νυκτὶ ἐπὶ πολὺ τὸν πυρσὸν δᾳδουχοῦντες,
καὶ τὸ παράπαν οὐδὲ εἷς παρῆν τῶν δοκουμένων·
οἱ δὲ περὶ Φιλοπαππούν λέγειν ἄρχονται τάδε·
[§ 444] «Τί, γέρον ἀνδρικώτατε, κόπους ἡμῖν παρέχεις;
»οὐχὶ πιστεύων εἴληφας τῆς ἡμῶν εὐτολμίας,
»ἐξ ὧν οἶδας ἀριστειῶν καὶ μεγίστων ἐπάθλων
»τῶν τελεσθέντων παρ' ἡμῶν ἐν κραταιοῖς πολέμοις;
»οὐ πολλάκις ἐθαύμασας ἡμᾶς ὡς ἀηττήτους,
»τὰς παραδόξους καθορῶν ἀεὶ ἀνδραγαθίας,
»καὶ παρ' αὐτοῦ ἡττήθημεν ὡς ἄπειροι πολέμου,
»περὶ ἐκείνων ἀπιστεῖς μὴ παρ' αὐτοῦ κτανθῆναι;
[§ 445] »Ἀλλ', εἰ κελεύεις, πείσθητι τῇ βουλῇ τῶν σῶν ⟨τέκνων,
»καταλείψωμεν τοὺς πολλοὺς καὶ ἀνοήτους μόχθους,
»καὶ ἄπελθε πρὸς Μαξιμοῦν τὴν ἡμῶν συγγενίδα,
»καὶ παρακάλεσον αὐτὴν ἡμῖν τοῦ συνεργῆσαι,
»λαὸν γὰρ ἔχει ἐκλεκτόν, ὡς καὶ αὐτὸς γινώσκεις·
»πλὴν τὰ συμβάντα πρὸς αὐτὴν μηδαμῶς ἀναγγείλῃς,
»εἰ γὰρ ἐν γνώσει γένηται, οὐ πεισθῇ συνελθεῖν σοι·
»ἀλλ' ὡς ἐχέφρων, νουνεχής, ποίησον ἀποκρίσεις,
»ὅπως ἑλκύσῃς εἰς βουλὴν τὴν ἡμετέραν ταύτην·
»καὶ ἐὰν τοῦτο γένηται ἑξόμεθα τὸ νῖκος,
»ἡμεῖς δὲ ἑνωθοῦμεν σοι, τὸν πυρσὸν ὅταν δείξῃς».

355 πεντηκοστὸν δεύτερον ἔτος ἄγω. Διώρθωσα κατὰ Α 3304 (2227)—359 ὑπάρξει+ ὑπάρχει».—363 τῶν δοκουμένων+ τῶν φαινομένων·—366 τὰς ἡμῶν εὐτολμίας,—377 ὡς καὶ αὐτὴ γινώσκεις·—

355. Πρβλ. ἀντιστοιχ. χωρίον ἐν Α 3304 (2227) ἑξ.
360 ἑξ. Πρβλ. ἀντιστοιχ. χωρίον ἐν Α 3320 (2243) ἑξ. καὶ σχετικὴν ὑποσημ. (2243) ἐν α' τόμῳ, σελ. 183 τοῦ παρόντος ἔργου.
365 ἑξ. Πρβλ. διαφορὰς ἐν Α 3334 ἑξ. καὶ ὑποσημ. αὐτόθι.
373 ἑξ. Πρβλ. διαφορὰς ἐν Α 3345 καὶ ὑποσημ. αὐτόθι.
374. ἀνοήτους μόχθους=ἀνωφελεῖς κόπους. Πρβλ. στιχ. Α 3346.

[§ 446] Καὶ ἤρεσεν ἡ συμβουλὴ τῷ γέροντι ἀσμένως· 55β
εὐθὺς ἐφ' ἵππου ἐπιβὰς πρὸς Μαξιμοῦν ἀπῆλθε.
Αὕτη δὲ ἦν ἀπόγονος γυναικῶν Ἀμαζόνων,
ἣν βασιλεὺς Ἀλέξανδρος ἤγαγεν ἐκ Βραχμάνων,
εἶχε δὲ τὴν ἐνέργειαν μεγίστην ἐκ προγόνων,
βίου ἀεὶ τὸν πόλεμον καὶ τέρψιν ἡγουμένη.
[§ 447] Πρὸς ταύτην ὁ Φιλοπαπποῦς γεγονώς, ὡς ἐρρέθη,
προσηνῶς κατησπάζετο, πῶς ἔχει, ἐπερώτα·
τῆς δὲ εἰπούσης· «Ζῶ καλῶς, τῇ τοῦ Θεοῦ προνοίᾳ·
»ἀλλὰ σύ, ὦ πανάριστε, πῶς μετὰ τέκνων ἔχεις;
»χάριν δὲ τίνος πρὸς ἡμᾶς τούτων χωρὶς ἐπῆλθες»;
[§ 448] Αὖθις ὁ γέρων ἔφησε τάδε, οὐκ ἀληθεύων·
«Οἱ μὲν παῖδες, κυρία μου, Κίνναμος καὶ Ἰωαννάκης,
»καλῶς ἔχοντες σὺν Θεῷ ἀπῆλθον εἰς τὰς βίγλας,
»τοὺς ἀτάκτους ὁλοσχερῶς σπεύδοντες ἀφανῖσαι.
[§ 449] »Τῶνδε κἀγὼ ἀπολυθεὶς ἀναπαύσεως χάριν,
»ἢ μᾶλλον οἰκονομικῶς Θεοῦ τῇ εὐδοκίᾳ,
»εἰς τοῦ καλοῦ ἀνεύρεσιν καὶ ἀτιμήτου δώρου,
»ὡς γὰρ οὐκ ἦν μοί πώποτε τέλεον ἠρεμῆσαι,
»μετὰ τὴν ὑποχώρησιν τῶν ἐμῶν παμφιλτάτων,
»μόνος τοῦ ἵππου ἐπιβὰς ἀνέτρεχον τὰς ὄχθας,
»καὶ τοὺς πόρους ἐσκόπευον ἰδεῖν τοὺς ἐναντίους.
[§ 450] »Ὡς δὲ ἦλθον ἐν τῇ ὁδῷ τῇ καλουμένῃ Τρώσει,
»πρὸς μέρος τὸ εὐώνυμον ἐν τῷ δασεῖ λειμῶνι,
»θηράματι ἐνέτυχον χρυσοῦ τιμιωτέρῳ,
»κόρῃ, οἵαν οὐδέποτε οἱ ὀφθαλμοί μου εἶδον.
»Ἐν τῷ κάλλει ἀμήχανον τὴν φαιδρότητα εἶχεν,
»ἐξ ὀφθαλμῶν ἀπόρρητον ἀνέπεμπε τὴν χάριν, 56α
»ἔρνος ὥσπερ εὐθέατον τὴν ἡλικίαν ἔχων,
»καὶ θέλγει πάντων τὰς ψυχάς, εἰκὼν καθάπερ ἔμπνους·
»ἔστι δέ, ὡς ἀνέμαθον, τοῦ Δουκὸς ἡ θυγάτηρ,

387 ἐκ Βραγμάνων·—

386. Περὶ Ἀμαζόνων καὶ Μαξιμοῦς βλέπε ἀντίστοιχ. τῷ παρόντι χωρίον ἐν Α 3355 καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι, ὡς καὶ ὑποσημ. Α 3780 ἐξ. Βλέπε ὡσαύτως καὶ τὰ περὶ σχέσεων τοῦ Ἀκριτ. ἔπους πρὸς τὸν θρυλικὸν βίον τοῦ Μ. Ἀλεξάνδρου κατὰ τὸν Ψευδοκαλλισθένην καὶ τὰ ἐκεῖθεν προελθόντα κείμενα τῶν μ. χρόνων ἐν τῇ Εἰσαγωγῇ τοῦ Ἀκριτ. ἔπους, τομ. α' τοῦ παρόντος ἔργου, σελ. κ', καὶ ὑποσημ. 27-28 αὐτόθι.
406. Περὶ τῆς Τρώσεως βλέπε ἐν τοῖς προηγουμένοις στίχ. Κστ 117 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι. Βλέπε ὡσαύτως καὶ ἀντίστοιχ. τῷ παρόντι χωρίον ἐν Α 3378 καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.

»ἣν λόγῳ οἰκειούμεθα τοῦ Χρυσοϊωαννάκη.
[§ 451] »Ἕτερος δὲ προέλαβεν, ἀγνοῶ ποίῳ τρόπῳ,
»καὶ μετ' αὐτῆς εὐφραίνεται νυνὶ ἐν τῷ λειμῶνι.
»Καί, εἴπερ ὅλως συγγενοῦς κήδεσαι τοῦ φιλτάτου,
»ὑπὲρ αὐτοῦ κοπίασον, δέξαι καὶ ἀγρυπνίαν,
»τὴν ἀγάπην βεβαίωσον, κυρία μου, ἐξ ἔργων·
»ὁ γὰρ προθύμως κοινωνῶν θλίψεσι τῶν φιλτάτων,
»ἐκεῖνος φίλος ἀληθὴς καὶ συγγενὴς ὑπάρχει».
[§ 452] Γέρων δὲ ὁ Φιλοπαπποῦς τοιαῦτα τε λαλήσας,
κατὰ πάντα πειθήνιον τὴν Μαξιμοῦν ποιεῖται,
καὶ γὰρ εὐεξαπάτητον φρόνημα γυναικεῖον.
Οὐδαμῶς γὰρ ἠρεύνησε τὶς ὁ τὴν κόρην ἔχων,
ἀλλ' αὐτίκα περιχαρῶς καλεῖ τὸν Μελιμίτζην,
ὃν εἶχε πρῶτον ἄγουρον ἐξάρχοντα τῶν ἄλλων,
καὶ μειδιῶσα πρὸς αὐτὸν περιχαρῶς ἐξεῖπεν.
[§ 453] «Ἔμαθες ὡς ὁ θαυμαστὸς Φιλοπαπποῦς ὁ γέρων
»κυνῆγιν εὗρε κάλλιστον ἀρτίως εἰς τὰς ἄκρας,
»καὶ ἀξιοῖ μεθ' ἑαυτοῦ καὶ ἡμᾶς πορευθῆναι,
»τῆς τε χαρᾶς μεταλαβεῖν καὶ τρυφῆς τῆς ἐντεῦθεν;
»Ἀλλὰ τάχιον ἄπελθε, εὑρὲ τοὺς ἀπελάτας,
»καὶ ἀπὸ πάντων ἑκατὸν ἔκλεξε τοὺς δοκίμους,
»ἵππους τε ἔχοντας καλούς, ὀχυρώτατα ὅπλα,
»ἵνα ᾧπερ ἐντύχωμεν, κατάσχωμεν ῥᾳδίως». 56β
[§ 454] Ὁ δὲ πρόσταγμα μὴ τολμῶν δεσποίνης ἀθετῆσαι,
ἐν τῇ βίγλᾳ γενόμενος, ἐν ταύτῃ τῇ ἑσπέρᾳ,
καὶ ἐπιδείξας τὸν πυρσόν, καὶ πλείστους συναθροίσας
πρὸς χιλίων ἐπέκεινα δοκίμους στρατιώτας,
ἐκ τούτων ἀπεχώρισεν ἑκατὸν τοὺς γενναίους·
καὶ τούτους συμπαραλαβὼν πρὸς τὴν κυρίαν ἦλθεν.
[§ 455] Ἡ δὲ τὰς χρείας ἁπάσας εἰκότως ἐπιδοῦσα,
ἐνετείλατο τῇ ἑξῆς γενέσθαι ἐν τοῖς ὅπλοις·
μεθ' ὧν ὥρμησε κατ' ἐμοῦ ζήλῳ πολλῷ πλησθεῖσα,

416 ἀγνοῶν ποίῳ τρόπῳ,—417 καὶ μετ' αὐτῆς ἐφαίνετο—435 καὶ ἀπὸ πάντων ἔκλεξε. Παραλείπεται ἡ λέξις «ἑκατόν». Διώρθ. κατὰ Α 3409 (2320).—

415 ἑξ. Χρυσοϊωαννάκης ὀνομάζεται ἐνταῦθα ὁ ἐκ τῶν ἀπελατῶν Ἰωαννίκιος, ἢ Ἰωαννάκης ἢ Γιαννακός, ὅστις κατὰ τὰ δημώδη ᾄσματα φέρεται ὡς πρῶτος σύζυγος τῆς κόρης. Βλέπε σχετικῶς ἀντίστοιχ. χωρίον ἐν Α 3387 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι ὡς καὶ Ε 1373 ἑξ. Περὶ τοῦ Ἰωαννάκη βλέπε καὶ ἐν τοῖς προηγουμένοις ἐν Κστ 121, Κστ 211, Κστ 236, Κστ 249 καὶ Εὑρετήρια ἀμφοτέρων τῶν τόμων.
427. Περὶ Μελιμίτζη ἢ Μελεμέντζη βλέπε ἀντίστοιχ. χωρίον ἐν Α 3400 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ.


τοῦ στρατοῦ προηγούμενος Φιλοπαπποῦς ἐν πόθῳ.
[§ 456] Ἐν δὲ τῷ ἀναστήματι γενόμενοι τοῦ λόφου,
ὁ γηραιὸς τὸ σύνθημα τοῖς φίλοις πρεσμηνύει,
πυρσὸν ἐξῆπτε τῇ νυκτὶ τοῖς περὶ Ἰωαννάκην·
καὶ μεθ' ἡμέρας καὶ αὐτοὶ ἐν τῷ στρατῷ παρῆσαν,
ἀσμένως πρὸς τῆς Μαξιμοῦς λίαν ἀποδεχθέντες·
ἐτίμα γὰρ ὡς ἀγχιστὰς τούτους καὶ ὡς συμμάχους
ἐδέξατο ἡ Μαξιμοῦ ὁλοσχερῶς τερφθεῖσα.
[§ 457] Πρὸς δὲ ὄχθας τοῦ ποταμοῦ πλησιάσαντες ἤδη,
ἄρχεται τοῦ δημηγορεῖν Φιλοπαπποῦς τοιάδε·
«Ὁ μὲν τόπος, κυρία μου καὶ ὑμεῖς στρατιῶται,
»ὑπάρχει δυσκολώτατος ἐν ᾧ τὴν κόρην εὗρον·
»καὶ μὴ πάντες ἀπέλθωμεν ὡς κρότον ἐμποιοῦντες,
»διάγνωσιν παρέχοντες τῷ φυλάττοντι ταύτην,
»καὶ πρὶν ἢ πλησιάσωμεν, δύνωσιν ἐν τῷ ἄλσει,
»καὶ οὐδόλως ἰσχύσωμεν τὸ θήραμα κρατῆσαι,
»καὶ γένηται διακενὴς πάντων ἡμῶν ὁ κόπος.
[§ 458] »Ἀλλ', εἰ δοκεῖ, προλάβωμεν δύο ἢ καὶ τρεῖς μόνοι,
»λάθρα ἐπισκοπεύοντες ποῦ ἡ κόρη ὑπάρχει· 57α
»καὶ οἱ μὲν δύο μείνωσιν ταύτην ἐπιτηροῦντες,
»ὁ δὲ γε τρίτος πρὸς ὑμᾶς ἐπανελθὼν δηλώσει,
»καὶ σὺν αὐτῷ ἐλεύσεσθε μηδαμῶς πλανηθέντες».
Πρὸς δὲ ταῦτα ἡ Μαξιμοῦ τῷ γέροντι ἀντέφη·
«Ὦ γέρον τε καὶ νουνεχές, σοὶ τὴν ἀρχὴν πιστεύω·
»πράττε λοιπὸν ὡς βούλεσαι, πάντων σοὶ πειθομένων».
Καὶ εὐθὺς ὁ Φιλοπαπποῦς, λαβὼν τὸν Μελιμίτζην
καὶ τὸν Κίνναμον σὺν αὐτῷ, τὸν ποταμὸν διῆλθε,
τοῖς ἄλλοις ἐντειλάμενος προσκαρτερεῖν ἐκεῖσε,
ἄχρις ἂν μήνυμα αὐτοῖς ἐκ τούτων ἐπανέλθῃ».
[§ 459] Ἐμοὶ δὲ τότε ἔτυχε διάγειν ἐν τῇ βίγλᾳ.
ἵππον κρατῶν τοῦ χαλινοῦ καθέζεσθαι ἐν πέτρᾳ
καὶ τούτων τε διὰ παντὸς τὴν ἔλευσιν ἐτήρουν.
[§ 460] Ἰδὼν με ὁ Φιλοπαπποῦς λέγει τὸν Μελιμίτζην·
«Ὁρᾷς ἐκεῖνον, τῇ χειρὶ ἐμὲ ὑποδεικνύων,
»τὸν ἐν πέτρᾳ καθήμενον ἐπὶ τὴν ἀκρωρείαν;

453 ἑτοίμους γὰρ ὡς ἀγχ. Διώρθωσα κατὰ Α 3424 (2335).—478 καὶ τούτων διὰ παντὸς—


457 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 3427 ἑξ. Βλέπε δὲ καὶ ὑποσημ. Α 3428 ἑξ. περὶ τῆς Τρώσεως. Βλέπε ὡσαύτως καὶ ὑποσημ. Α 3378, Κστ 117 καὶ Κστ 406.
476 ἑξ. Πρβλ. διαφορὰς ἀντιστοίχ. χωρίου ἐν Α 3448 (2358) ἑξ. Βλέπε δὲ καὶ ὑποσημ. Α (2358) ἑξ. αὐτόθι.


Τὸ μεσαιωνικὸν κάστρον τοῦ Ἰκονίου.


Ἑλληνικὸν ὀρεινὸν χωρίον τοῦ Πόντου.



Ἡ νησίδα Ἰκὶς—Ἀντᾶ τῆς λίμνης Ἀκ—γκιόλ. Ἡράκλεια τῆς Καππαδοκίας.



Κων/πολις. Τὰ περιφερειακὰ Τείχη.

»αὐτὸς ὑπάρχει, γίνωσκε, ὁ τὴν κόρην κατέχων·
»μὴ τοίνυν ἐλευσώμεθα κατὰ πρόσωπον τούτου,
»ἀλλὰ ἂς ἐρευνήσωμεν ὅπου τὴν κόρην ἔχει, .
»καὶ εἶθ' οὕτως γνωρίσομεν τῷ λαῷ, ὡς ἐρρέθη·
»εἰ γὰρ καὶ μόνος πέφυκεν, πλὴν καλὸς εἶναι πάντως·
»οἶδα γὰρ οἷς καὶ αὐτὸς ὑπάρχει ἐν ἀνδρείᾳ,
»καὶ παραινῶ μηδὲ ποσῶς μόνοι αὐτῷ φανῆναι».
Ὡσαύτως καὶ ὁ Κίνναμος ἐπήνει τὰ λεχθέντα.
[§ 461] Ἀλλ' οὐδαμῶς συνέθετο τούτοις ὁ Μελιμίτζης
εἰρηκὼς ὡς «Οὐ δύναμαι νῦν ὑμᾶς ἐπιγνῶναι·
»εἰς χιλίους οὐδέποτε συνεργοῦ ἐδεήθην,
»καὶ εἰς τὸν ἕνα λέγετε τὸν λαὸν περιμένειν;
»πάντως εἰ τοῦτο ἀκουσθῇ πρὸ τῆς ἐμῆς κυρίας
»καταμεμφθῶ ὡς ἄνανδρος, τὸν ἕνα δειλιάσας,
»καὶ ζῆν οὐκέτι βούλομαι, εἰ ἄτολμος ἀκούσω».
Οὕτως εἰπόντος κατ' ἐμοῦ ὅλῳ θυμῷ ἐκινήθη,
τὰς τοῦ γέροντος παρ' οὐδὲν θέμενος παραινέσεις·
ἔστι γὰρ καὶ τὸ βάρβαρον δύσπιστον ἔθνος ἅπαν.
[§ 462] Τούτου ὡς εἶδον τὴν ὁρμήν, τοὺς δὲ ἐφεπομένους
καὶ αὐτοὶ γὰρ παρείποντο σκοπεύοντες τὸ μέλλον,
τοῦ ἵππου μου ἐπέβαινον καὶ αὐτοῖς προσυπήντων·
ὡς δὲ ἔμπροσθεν ἤρχετο πάντων ὁ Μελιμίτζης,
τὸ μὲν κοντάριν ἴθυνε δοῦναι μοι κονταρέαν·
τοῦτο δὲ τέχνῃ παρελθὼν ἐν τῷ με παρατρέχειν,
τῇ ῥάβδῳ τοῦτον ἔπληξα καὶ πρὸς γῆν κατηνέχθη,
ἱστάμην δὲ ἐγὼ τηρῶν εἰ ἐγερθῆναι ἔχει.
[§ 463] Καὶ ὡς ἐν τούτῳ μου τὸν νοῦν εἰς ὥραν ἐσχολούμην,
λαθών με ὁ Φιλοπαπποῦς καὶ ἐλθὼν ἐκ πλαγίου,
κονταρέαν ἐν τῷ μηρῷ τιτρώσκει μου τὸν ἵππον·
ὑπῆρχον δὲ συνηρεφῆ καὶ θαμινὰ τὰ δένδρα,
τοῦ ἵππου δὲ πονέσαντος καὶ ταραχθέντος λίαν,
ἐπιστραφεὶς τὸν γέροντα φευγόμενον κατεῖδον.
[§ 464] Καὶ ἐπεφώνησα αὐτῷ· «Τί με ἀποδιδράσκεις;
»ἔκδεξαί με δὲ εἰς πρόσωπον, ἐὰν ἧς στρατιώτης,
»καὶ μὴ ὥσπερ κυνάριον λυσσῶν λάθρα με δάκῃς».
[§ 465] Ὁ δὲ μᾶλλον σφοδρότερον τὸν δρασμὸν ἐποιεῖτο
καὶ διῆλθε τὸν ποταμὸν ἅμα σὺν τῷ Κιννάμῳ·
κἀγὼ ἄχρι τοῦ ὕδατος αὐτοῖς ἀκολουθήσας,
ὡς εἶδον πέρα τὸν λαόν, πάντας καθωπλισμένους,

486 πλὴν καλὸν εἶναι πάντας—489 ἐπαινῶν τὰ λεχθ.—520 ὡς εἶδε—

490 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 3470 ἑξ.

οὐκ ἔκρινα τοῦ ἀπελθεῖν πρὸς αὐτοὺς χωρὶς ὅπλων,
μάλιστα δ' ὅτι ὤκλαζεν ὁ ἵππος ἐν τῇ τρώσει.
[§ 466] Καὶ αὐτίκα ὑπέστρεψα πρὸς τὴν κόρην εὐθέως,
εἶτα λαβὼν τὰ ἅρματα, ἀλλάξας καὶ τὸν ἵππον,
πρὸς τὴν ὡραίαν εἴρηκα· «Δεῦρο, φῶς μου, ἐν τάχει,
»ἵν' ὅπως σε ἐν τῇ κρυπτῇ τοῦ λόφου ἐπαγάγω·
»κἀκεῖθεν βλέπε τοὺς ἐχθροὺς ἡμῶν ἀπολλυμένους,
»καὶ μάθε τίνα σοι ὁ Θεὸς ἐκδικητὴν παρέσχε,
»καὶ τὸ πανάγιον αὐτοῦ κράτος καὶ νῦν δοξάσεις».
Ἡ δὲ εὐθὺς ἐπέβηκεν ἐφ' ἵππῳ τῷ ἰδίῳ,
καὶ γὰρ τὴν ἔφοδον αὐτῆς προηυτρέπισα μάλα.
[§ 467] Ὡς δὲ καὶ κατελάβομεν ἐν τῷ ῥηθέντι τόπῳ,
τὴν μὲν ἐν τῇ περιωπῇ ἀφέμενος τοῦ ὄρους,
ἐν ᾧ ἄντρον αὐτοφυὲς ὡς οἴκημα ὑπῆρχεν,
ὑπὸ δένδρων κρυπτόμενον καὶ δυσεύρετον λίαν,
τοῦ ὁρᾶν μὲν τὰ πόρρωθεν πραττόμενα παρεῖχε,
καὶ μηδὲ τὸ κρυπτόμενον παρά τινος ὁρᾶσθαι·
ἐκεῖσε, ὡς δεδήλωται, τὴν κόρην κατακρύψας
καὶ παραγγείλας μηδαμῶς δειλιᾶν τὰ συμβάντα,
μηδὲ μὴν ἐν ταῖς συμπλοκαῖς φωνῆσαι τὸ παράπαν,
«ἵνα μὴ τούτοις γένηται ὁδηγὸς ἡ φωνή σου,
»καὶ ἐπανέλθωσι πρὸς σέ, ἐμοῦ ἀσχολουμένου,
»καὶ προφανὴς ὁ κίνδυνος ἐκ τούτου μοι ἐπέλθῃ».
[§ 468] Καὶ ὥρμησα πρὸς ποταμὸν τὸν λαὸν ἔνθα εἶδον,
καὶ τὰς ὄχθας ἀνέτρεχον ἵνα τὸν πόρον εὕρω.
[§ 469–470] Καὶ θεωρῶ τὴν Μαξιμοῦν τῶν λοιπῶν
⟨χωρισθεῖσαν 58β
καὶ σὺν αὐτῇ τοὺς τέσσαρας μεγίστους ἀπελάτας,
Φιλοπαπποῦν τὸν γέροντα, Κίνναμον καὶ Ἰωαννάκην.
καὶ τὸν δόκιμον Λέανδρον τὸν μέγαν ἐν ἀνδρείᾳ·
χαρζανιστοὶ κατήρχοντο τοῦ ποταμοῦ τὸ χεῖλος,

524 εἶτα βαλὼν—526 ἐν τῇ κρηπῇ τοῦ λόφου ἐπαγάγω·—

521 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 3505 καὶ ὑποσημ. Βλέπε ὡσαύτως ἐν Κστ 476 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.
532 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 3519 ἑξ. Ὡς πρὸς τὸ ἐνταῦθα μνημονευόμενον ἄντρον τοῦ Ἀκρίτου βλέπε καὶ ὑποσημ. Α 3521.
550 Χαρζανιστοὶ=ἀκάθεκτοι, μὲ ὁρμήν, μὲ ταχύτητα. Χάρζανον ἢ χαρζάνιον (ἴσως ἐκ τῆς ἀραβ. λέξεως χαρζούν=κλάδος δένδρου ἄνευ φύλλων, βέργα, βίτσα καὶ κατὰ συνεκδ. ῥάβδος, μαστίγιον, ἱμὰς κλπ.). Πρβλ. σχετικῶς ἐν τοῖς προηγουμένοις στιχ. Κδ 182 : χαρζανίσας τὴν οὐράν. Βλέπε καὶ παρατηρήσεις Καρολίδου ἐν Ἐπετηρ. Βυζ. Σπουδ. Γ', σελ. 331. Πρβλ. ὡσαύτως καὶ στίχ. Ε 509, βλέπε δὲ καὶ παρατηρήσεις Ξανθουδ, σελ. 552-553.

δύο ἔνθεν κακεῖθεν τε, ἡ Μαξιμοὺ δὲ μέσον,
ἐποχουμένη εἰς βουλχᾶν λευκὸν καθάπερ γάλα,
χαίτην ἔχων καὶ τὴν οὐράν, τὸν σγοῦρδον καὶ τὰ ὦτα,
ὄνυχάς τε τοὺς τέσσαρας κοκκίνους βεβαμμένους,
ἅπαν τὸ σελλοχάλινον χρυσῷ πεποικιλμένον,
τὸ λουρίκιν ἀπέστραπτε χρυσέας ῥίζας ἔχον.
[§ 471] Στραφεῖσα πρὸς τὸν γέροντα ἐπιμελῶς ἠρώτα·
«Λέγε μοι, ὦ Φιλοπαπποῦ, τίς ὁ τὴν κόρην ἔχων».
Ὁ δὲ φησίν· «Οὗτός ἐστι», κἀμὲ τῇ χειρὶ δείξας·
ἡ δέ· «Καὶ ποῦ οἱ σὺν αὐτῷ, ἤρετο, στρατιῶται;»
«Οὗτος, φησί, κυρία μου, τῶν συνεργῶν οὐ δεῖται,
»ἀλλ' εἰς τὴν ἄπειρον αὐτοῦ ἐπιθαρρῶν ἀνδρείαν,
»μόνος ὁδεύει πάντοτε, καύχημα τοῦτο ἔχων».
[§ 472] Ἡ δέ· «Ὦ τρισκατάρατε γέρον, ἀνταπεκρίθη,
»καὶ διὰ ἕνα κόπους μοι καὶ τῷ λαῷ παρεῖχες,
»πρὸς ὃν μόνη περάσασα, σὺν Θεῷ καυχωμένη,
»ἀρῶ αὐτοῦ τὴν κεφαλήν, ὑμῶν μὴ δεηθεῖσα;»
Ταῦτα εἰποῦσα ἐν θυμῷ, ὥρμησε τοῦ περάσαι.
[§ 473] Ἐγὼ δὲ λέγω πρὸς αὐτήν· «Μαξιμού, μὴ περάσῃς·
»ἀνδράσι καὶ γὰρ πέφυκεν ἔρχεσθαι πρὸς γυναῖκας·
»ἔλθω λοιπὸν ἐγὼ πρὸς σέ, ὡς τὸ δίκαιον ἔχει».
Καὶ αὐτίκα τὸν ἵππον μου κεντήσας ταῖς περόναις,
πρὸς τὸ ὕδωρ ἐξώρμησα, ἀποτυχὼν τοῦ πόρου· 59α
ἦν δὲ πολὺς ὁ ποταμὸς καὶ ἔπλευσεν ὁ ἵππος·
ὕδατος τούτου ἔκχυσις ἄποθεν δὲ ὑπῆρχεν
βραχυτάτην ἐμφαίνουσα λίμνην συχνήν τε πόαν·
ἐν ᾗπερ στᾶσα ἀσφαλῶς λίαν εὐτρεπισμένη
ἡ Μαξιμοὺ τὴν προσβολὴν τὴν ἐμὴν ἐπετήρει·
οἱ δὲ συνόντες ἄλλοι μὲν ἔτρεχον πρὸς τὸν πόρον,
ἕτεροι δὲ ἐνήδρευον ἐγκρύμματα ποιοῦντες.
[§ 474] Ἐγὼ δέ, ὅταν ἔγνωκα εἰς γῆν πατεῖν τὸν ἵππον,
τρανὰ αὐτὸν ἠρέθιζον, καὶ τὸ σπαθὶν ἑλκύσας

557 Καὶ στραφεῖσα—561 φησί, κυρία, τῶν συνεργῶν—

556 ἑξ. Βλέπε ἀντίστοιχ. χωρίον ἐν Α 3544 ἑξ. καὶ ὑποσημ. Α 3542 ἑξ. Ῥίζας ἐκάλουν οἱ Βυζαντινοὶ τοὺς κροσσούς. Βλέπε σχετικῶς ἐν Α 1215, Κδ 222, καὶ ταυταρίθμ. ὑποσημειώσεις.
574-575. Τὸ ἀνωτέρω φαίνεται ἀπομίμησις ἐκ τοῦ Συνεχιστοῦ περιγράφοντος εἰς σχετικὸν χωρίον τὸν Εὐφράτην καὶ τὴν προσωπικὴν δραστηριότητα καὶ τόλμην τοῦ Βασιλείου Μακεδόνος, χάρις εἰς τὸν ὁποῖον τὰ ὑπ' αὐτὸν στρατεύματα κατώρθωσαν νὰ διαβῶσι τὸν ποταμὸν ἐν πλημμύρᾳ τῷ 874 πρὸς πολιορκίαν τῆς Μελιτηνῆς. Βλέπε σχετικῶς ἀντίστοιχ. χωρία ἐν Α 3576, Ε 1535 καὶ ταυταρίθμους ὑποσημ. ὡς καὶ Λάμπρου Ἱστορ. Δ' 236.

ὁλοψύχως πρὸς Μαξιμοῦν εὐτέχνως ἀπηρχόμην.
Ἡ δέ, ὡς προηυτρέπιστο, προσαπαντᾶν δραμοῦσα,
κονταρέαν μοι δέδωκεν ξυστὴν εἰς τὸ λουρίκιν·
καὶ μηδαμῶς ἀδικηθεὶς ἔκοψα τὸ κοντάριν,
τινάξας δ' αὖθις τὸ σπαθὶν ταύτης ἐνεφεισάμην.
[§ 475] Τοῦ δὲ βοῦλχα ἀποτεμὼν τὴν κεφαλὴν εὐθέως,
καὶ τὸ μὲν πτῶμα χαλεπῶς ἐπὶ γῆν κατηνέχθη·
ἡ δὲ ἀναποδίσασα, τρόμῳ συνεχομένη,
προσπίπτουσα ἐφθέγγετο· «Ὦ νέε, μὴ ἀποθάνω·
»πεπλάνημαι γὰρ ὡς γυνὴ Φιλοπαππού πεισθεῖσα».
Καὶ ταύτης μὲν εὐλαβηθείς, εἰσακούων τοῖς λόγοις,
κάλλος τε τὸ θαυμάσιον ὃ εἶχεν ἐλεήσας,
ἐκεῖ ταύτην ἀφέμενος, πρὸς τοὺς λοιποὺς ἐξῆλθον.
[§ 477] Ὅπως τε πάντας ἴσχυσα, αἰσχύνομαι τοῦ λέγειν,
ἵνα μὴ ὡς καυχώμενον λογίσησθέ με, φίλοι·
ὁ γὰρ ἐκδιηγούμενος ἰδίας ἀριστείας
κενόδοξος λογίζεται ὑπὸ τῶν ἀκουόντων.
Ἐγὼ δὲ οὐ καυχώμενος ταῦτα ὑμῖν ἐκφαίνω, 59β
οὔ, μὰ τὸν διδόντα ἰσχὺν καὶ γνῶσιν τοῖς ἀνθρώποις,
αὐτὸς γὰρ μόνος πάροχος τῶν ἀγαθῶν ὑπάρχει·
διὰ τοῦτο ῥηθήσονται ὡς γεγόνασι πάντα,
συγγνώμην ὅπως παρ' ὑμῶν ἔξω τῶν ἀκουόντων.
Αὖθις καὶ γὰρ ὠλίσθησα εἰς βόθυνον μοιχείας,
δι' ἐλαφρότητα φρενῶν καὶ ψυχῆς ἀμέλειαν,
ὑπὲρ τούτου κατὰ πολὺ ὁ λόγος μὲν δηλώσει,
ἔχει δὲ οὕτω καθεξῆς ὥσπερ ὑμῖν ἐξείπω.
Ἡ Μαξιμοὺ τὸν ἴδιον ἀπολέσασα ἵππον
ἀπελείφθη ἐν τῇ ποᾷ, ὡς ἄνωθεν ἐρρέθη.
[§ 478] Καὶ πρὸς τοὺς ἄνω ἐκδραμὼν τὸν πόλεμον συνῆψα·
καί, πρὶν λάβωσι πεῖραν μου, εἰσήγοντο μὲν πρός με·
ὡς δὲ πάντας τοὺς μετ' ἐμοῦ συμβεβληκότας εἶδον,
κατερραγμένους ἐπὶ γῆν, ἀφ' ἵππων ἀπωσμένους,
καὶ ἐξ αὐτῶν ἐγνώρισαν τῶν ἔργων ὅστις ἤμην,

589 τὸ μὲν πτῶμα. Παραλείπεται ἡ λέξις «καὶ» ἐν ἀρχῇ. Διώρθωσα κατὰ Α 3587 (2420).–590 τὴν δὲ ἀναποδίσασαν τρόμῳ συνεχομένην. Διώρθ. κατὰ Α 3588 (2421).–593 Καὶ ταύτας εὐλαβηθείς,–

600 ἑξ. Βλέπε ἀντίστοιχ. τῷ παρόντι χωρίον ἐν Α 3600 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι, ὡς καὶ ὑποσημ. Α 2462 ἑξ. ἐν τέλει. Πρβλ. ὡσαύτως καὶ στίχ. Κε 18 ἐν συναρτήσει καὶ πρὸς τὰ διατυπούμενα ἐν Κοτ 605-608 Ἐν σχέσει πρὸς τὸ ἁμάρτημα τῆς μοιχείας, τὸ ὁποῖον ἐβάρυνε τὸν Ἀκρίταν, καὶ εἰς τὸ ὁποῖον ἀπέδιδεν οὗτος τὴν ἀτεκνίαν του βλέπε καὶ ὑποσημ. Α 2457 ἑξ. καὶ Α 4171.

φυγῇ μόνῃ ἐπίστευον ἰδεῖν τὴν σωτηρίαν
καὶ ἐκ πάντων ὀλιγοστοὶ ἴσχυσαν ἀποδρᾶσαι·
καί, τοῦ πολέμου παύσαντος, ὄπισθεν ἐστρεφόμην.
[§ 480] Καὶ ἐξαίφνης τοὺς τέσσαρας καθορῶ ἀπελάτας
Φιλοπαππούν καὶ Λέανδρον, Κίνναμον καὶ Ἰωαννάκην,
τοῦ ἄλσους ἀνακύψαντας καὶ πρός με ἐρχομένους·
Λέανδρος δὲ καὶ Κίνναμος ἤρχοντο ἐκ προσώπου,
ὁ γέρων δὲ καὶ οἱ λοιποὶ ἤλαυνον ἐξοπίσω,
ἐλπίζοντές με ἀνελεῖν μέσον αὐτῶν βαλόντες,
ἀλλ' ἠνέχθησαν μάταια καὶ κενὰ μελετῶντες·
ὡς γὰρ εἶδον τοὺς ἔμπροσθεν σφόδρα ἐπιλαλοῦντας, 60α
πρὸς αὐτοὺς ὥρμησα εὐθύς, τῶν ἄλλων μὴ φροντίσας.
[§ 482-483] Ὁ Λέανδρος ἐπέδραμεν, οὐ γὰρ εἶχε μου πεῖραν·
ὃν καὶ πατάξας, ἐπὶ γῆν πέπτωκε σὺν τῷ ἵππῳ·
τοῦτον ἰδὼν ὁ Κίνναμος ἐτράπη τῆς εὐθείας,
οἱ δὲ λοιποὶ συνάψαντες τοὺς ὤμους καὶ τὰ ξίφη
ἐκ πλαγίου προέβαλον δοῦναί μοι κονταρέας·
πρὸς οὓς συντόμως τὴν ἐμὴν ἀνθυποστρέψας σπάθην,
τὰ κοντάρια ἔτεμον παρευθὺς ἀμφοτέρων,
καὶ πρὸς φυγὴν ἐτράπησαν τοὺς ἵππους ἐκκεντοῦντες,
μηδαμῶς αὐτῶν ὄπισθεν θεάσασθαι τολμῶντες.
[§ 484] Οὕτως ὡς εἶδον ἔχοντας, μετὰ γέλωτος εἶπον·
«Στράφητε, οὐκ αἰσχύνεσθε τὸν ἕνα δειλιῶντες;»
καὶ οὐκ ἐδίωξα αὐτούς, τῆς συμφορᾶς οἰκτείρας,
ἔλεος καὶ γὰρ πάντοτε πρὸς τοὺς φεύγοντας εἶχον,
νικᾶν καὶ μὴ ὑπερνικᾶν, φιλεῖν τοὺς ἐναντίους,
ἀπέστρεφόν τε ὄπισθεν κατὰ σχολὴν βαδίζων.
[§ 485] Πλησίον δὲ τῆς Μαξιμοῦς ἐλθών, τοιάδε ἔφην·
«Ἡ καυχωμένη ἄμετρα καὶ ἰσχύϊ θαρροῦσα,
»ἄπελθε, ἐπισύναξον τοὺς φυγεῖν σῳζομένους,
»καὶ ἀνδραγάθει σὺν αὐτοῖς δυνατῶς ἔνθα ἔχεις,
»ἔθος ὡς οἶσθα καὶ αὐτὴ καλῶς πεῖραν λαβοῦσα,
»ἐξ ὧν ἔπαθες μάνθανε καὶ μὴ ἀλαζονεύου·
»Θεὸς γὰρ ἀντιτάσσεται πᾶσιν ὑπερηφάνοις».
[§ 486] Ἐκείνη δὲ πρὸς ὑπαντὴν ἐλθοῦσα ἡμετέραν,

621 τοὺς ἄλσους ἀνακύψαντας–

640 ἑξ. Ἀνάλογον φαίνεται καὶ τὸ χωρίον τοῦ Κεδρηνοῦ (II, σελ. 390 ἑξ.) ἔνθα γίνεται λόγος περὶ τῆς καταδιώξεως τοῦ Βάρδα Φωκᾶ ὑπὸ ἀξιωματικοῦ τοῦ Βάρδα Σκληροῦ. Ὁ Βάρδας Φωκᾶς ἐγκαταλειφθεὶς ὑπὸ τῶν συναποστατῶν του φέρεται ἀναφωνήσας ἐν τῇ ἀπελπισίᾳ του· «Ἔδει σε, ὦ ἄνθρωπε, μὴ προσονειδίζειν, ἀλλ' οἰκτείρειν μᾶλλον καὶ ἐλεεῖν» κλπ. Βλέπε σχετικῶς Κυριακ. Διγ. Ἀκρ. σελ. 107.

τὰς χεῖρας αὐτῆς δήσασα πρεπόντως τὰς ἰδίας
καὶ μέχρι γῆς τὴν κεφαλὴν κλίνασα εὐκοσμίως·
«Ἁπάντων γενναιότατε, ἔφησε, νῦν ἐπέγνων
»τὴν σὴν ἀνείκαστον ἰσχὺν καὶ τὴν φιλανθρωπίαν,
»ἣν οὐδεὶς ἔσχε πώποτε τῶν πάλαι ἐν ἀνδρείᾳ
»ἀφ' οὗ γάρ με ἐκρήμνισας, εἶχες καὶ τοῦ φονεῦσαι,
»ἀλλ' ἐφείσω, ὡς θαυμαστὸς καὶ μέγας ἐν ἀνδρείᾳ·
»ὁ Κύριος φυλάξοι σε, γενναῖε στρατιῶτα,
»αὐθέντα μου πανθαύμαστε, μετὰ τῆς ποθητῆς σου,
»εἰς χρόνους πλείονας καλοὺς ἐν δόξῃ καὶ ὑγείᾳ·
»ὅτι πολλοὺς τεθέαμαι γενναίους στρατιώτας,
πολεμιστὰς περιφανεῖς καὶ στερροὺς ἐν τῇ μάχῃ,
»ἀλλ' οὔτε κραταιότερον ἐν ταῖς ἀνδραγαθίαις,
»οὐκ εἶδον ἄλλον πώποτε παρ' ὅλον μου τὸν βίον».
[§ 487] Εἶτα περιλαβοῦσα μου τοὺς πόδας, κατεφίλει
τὴν χεῖρα μου τὴν δεξιάν, ἠρέμα φθεγγομένη·
«Εὐλογημένος ὁ πατὴρ καὶ μήτηρ ἡ τεκοῦσα,
»καὶ οἱ μαστοὶ οἱ θρέψαντες μητρὸς εὐλογημένης·
»τοιοῦτον γὰρ οὐδέποτε ἄλλον ἄνδρα κατεῖδον.
[§ 488] »Πληρῶσαι οὖν παρακαλῶ σὲ τὸν ἐμὸν δεσπότην
»καὶ ἑτέραν μου αἴτησιν, ἐκ ταύτης ὅπως γνώσῃς
»ἀκριβέστερον τὴν ἐμὴν ἐν τῷ πολέμῳ πεῖραν·
»κέλευσόν με τοῦ ἀπελθεῖν καὶ ἐπιβῆναι ἵππου,
»καὶ τὸ πρωῒ ἐλεύσομαι ἐν τῷ παρόντι τόπῳ,
»ὅπως μονομαχήσωμεν μηδενὸς συμπαρόντος,
»καὶ νὰ νοήσῃς, πάγκαλε, καὶ τὴν ἐμὴν ἀνδρείαν».
[§ 489] «Μετὰ χαρᾶς, ὦ Μαξιμοῦ, πρὸς αὐτὴν ἐγὼ ἔφην,
»ἄπελθε ἔνθα βούλεσαι, κἀμὲ ὧδε εὑρήσεις· 61α
»μᾶλλον δὲ φέρε καὶ τοὺς σοὺς ἑτέρους ἀπελάτας,
»καὶ δοκίμασον ἅπαντας καὶ τοὺς κρείττονας μάθε».
Καὶ τότε ἕνα συλλαβὼν τῶν πλανωμένων ἵππων
τῶν πεπτωκότων σὺν αὐτῇ ἐν ὥρᾳ τοῦ πολέμου,
ἤγαγον τοῦτον πρὸς αὐτὴν ἐπιβῆναι προστάξας.
[§ 476]. Ὡς γὰρ εἶδε με ὁ λαὸς κρημνίσαντα τὴν κόρην,
κύκλῳ περιεχύθησαν ὡς ἀετοὶ σπουδαίως·
οἱ μὲν σπαθέας ἔκρουον ἔσω χειρὶ συντόμως,

655 τὴν σὴν ἀνείκαστον εὐχὴν—672 ὅπως γνώσω. Διώρθωσα κατὰ Α 3700 (2532).—673 ἀκριβέστερον τὴν σήν. Διώρθωσα κατὰ Α 3701 (2533).—678 πρὸς αὐτὸν ἐγὼ ἔφην—681 κρείττονας μαθέν.—685 ὡς γὰρ εἶδε με λαὸς κνημίσαντα τὴν κόρην,—

685 ἑξ. Πρβλ. ἀντίστοιχ. τῷ παρόντι χωρίον ἐν Α 3592 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.

ἄλλοι δὲ κονταρέας μοι ἐδίδων κατὰ κράτος,
ἕτεροι δὲ τοῖς βέλεσιν αὐτῶν ἐξένυττόν με·
καὶ τότε τίς ὁ βοηθῶν; τίς ὁ φρουρῶν καὶ σκέπων;
οὐκ ἄλλος πάντως ἢ Θεὸς δικαιοκρίτης μέγας·
αὐτὸς γὰρ ἐξαπέστειλε βοήθειαν ἐξ ὕψους
καὶ ἐμὲ διεφύλαξεν ἀβλαβῆ παρ' ἐλπίδα.
[§ 478] Ὡς δὲ εἰς μέσον κέκλεισμαι τοσούτων πολεμίων
καὶ πάντοθεν πληττόμενος τὴν φυγὴν ᾐσχυνόμην·
εἶχον γὰρ ἅρματα καλὰ καὶ κατωχυρωμένα,
καὶ σὺν Θεῷ πεφύλαγμαι ἄτρωτος ἐν τῇ μάχῃ.
[§ 479] Εἰς πολὺ δὲ οὐ γέγονεν ἡ ἐκείνων θρασύτης,
ἀλλὰ ταχέως ἔσβεσται, τοῦ Θεοῦ βοηθοῦντος·
ἔχων τε καὶ τοὺς μάρτυρας ἁγίους Θεοδώρους,
Γεώργιον, Δημήτριον, τούτους ἔτρεψα πάντας.
Κοντάριν γὰρ οὐκ ἔλαβον ἐν αὐτοῖς, οὐδὲ τόξον,
τὴν ἐμὴν σπάθην ἔσυρα καὶ ἦλθον ἔσω χεῖρας·
καὶ ὅσους μὲν ἐλάγχανον, ἔκοπτον τούτους μάλα,
καὶ γὰρ αὐτοὺς ἐλάμβανον, ψυχὴν μὴ κεκτημένους·
ἄλλοι δὲ φεύγειν θέλοντες, κατελάμβανον τούτους,
καὶ μὴ δυνάμενοι ποσῶς ἐμοὶ προσαντιστῆναι,
ἐπέζευον τοὺς ἵππους των, ἔρριπτον τὰ ἅρματά των,
καὶ προσελθόντες ἔφευγον, ἐχόμενοι τοῦ τρόμου·
και οὕτω τε ἀπέμενον ἵπποι πολλοὶ ἐκ τούτων,
ἐξ ὧν, ὡς ἔφην, δέδωκα τῇ Μαξιμοῦ τῷ τότε.
[§ 490] Καὶ διῆλθον τὸν ποταμόν, ἡ δὲ πρὸς τὰ οἰκεῖα,
χάριν μοι, ὡς ἐφαίνετο, πολλὴν ὁμολογοῦσα.
Καί, εἰς τὴν τένδαν μου ἐλθών, ἀπέβαλον τὰ ὅπλα,
καὶ ἐδυσάμην θαυμαστὸν λεπτότατον μαχλάβιν,
βαλών τε καὶ σγουρούτζικον κόκκινον καμηλαύκιν,
καὶ ἵππον μετεσέλισσα δαγάλην, ἀστερᾶτον,
ὃς εἶχε γνώμην κάλλιστον ἐν ταῖς ἀνδραγαθίαις·
σπαθίν, σκουτάριν εἰληφὼς καὶ βένετον κοντάριν,

701 πάντας + μᾶλλον.—711 δώδεκα τῇ Μαξιμοῦ—716 καμαλαύκην,—717 γαδάλην ἀστεράταν + ἀστερᾶτον,—

715 ἑξ. Βλέπε ἀντίστοιχ. χωρίον ἐν Α 3715 ὡς καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι καὶ σχετικὰς παραπομπὰς περὶ μαχλαβίου. Πρβλ. καὶ στίχ. Κδ 220 ὡς καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι. Περὶ καμηλαυκίου βλέπε ἐν Α 1427 καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι, πρβλ. δὲ καὶ ἐν Κδ 117.
717. Περὶ ἵππου δαγάλη καὶ ἀστεράτου βλέπε ἀντίστοιχ. χωρίον ἐν Α 3718 καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι. Βλέπε ὡσαύτως καὶ ὑποσημ. Α 338-339, Α 672, καὶ Α 1216.
719. Βένετον κοντάριν. Βλέπε σχετικῶς ὑποσημ. Α 2499.

τὸν ποταμὸν ἐπέρασα, ἑσπέρας ἤδη οὔσης,
ἐπὶ τούτῳ καὶ ὤκνησα ἀνελθεῖν ἐν τῇ κόρῃ.
[§ 491] Ἀλλ' ἔστειλα τὰς ἑαυτῆς δύο θαλαμηπόλους·
εἴχομεν καὶ γὰρ ἱκανοὺς τοὺς ἡμῖν ὑπουργοῦντας
τὴν οἴκησιν των ἔχοντας ἀπόμακρα τῆς τένδας,
οὐχὶ δὲ ἅπαντες ὁμοῦ, ἀλλ' ἄνδρες μὲν ἰδίως,
καὶ αἱ γυναῖκες ὡσαύτως εἶχον αὐτῶν τὰς τένδας.
[§ 492] Περάσας οὖν, ὡς εἴρηκα, τὸν ποταμὸν Εὐφράτην,
ἐν τῷ λειμῶνι τῷ τερπνῷ ἑαυτὸν ἀνακλίνας,
τόν τε ἵππον ἀνέπαυσα διαγαγὼν τὴν νύκτα.
Πρὸς ὄρθρον δὲ ἐξαναστὰς καὶ ἐπιβὰς τοῦ ἵππου,
εἰς τὸ πεδίον ἀνελθών, ἱστάμην ἀναμένων.
[§ 493] Τῆς δὲ ἡμέρας τῷ φωτὶ ἄρτι διαυγαζούσης, 62α
καὶ τοῦ ἡλίου λάμποντος ἐπὶ τὰς ἀκρωρείας,
ἰδοὺ μόνη ἡ Μαξιμοὺ ἐφάνη ἐν τῷ κάμπῳ·
εἰς φάραν ἐπεκάθητο μαύρην, γενναιοτάτην,
ἐφόρει ἐπιλώρικον ὁλόβηρον, καστόριν
φακεολίτζιν πράσινον, χρυσὸν ῥεραντισμένον,
σκουτάριν ἔχον ἀετοῦ πτέρυγας γεγραμμένας,
κοντάριν ἀραβίτικον, καὶ σπαθὶν ἐζωσμένη·
ταύτης ἐγὼ πρὸς ἀπαντὴν ἐκίνησα εὐθέως.
[§ 494] Καὶ πλησίον γενόμενοι ἠσπασάμεθα ἄμφω·
χαιρετήσαντες, ὡς εἰκός, ἀλλήλους παμφιλτάτως,
τῆς μάχης τε ἠρξάμεθα, λαλήσαντες τοὺς ἵππους
ἄνω καὶ κάτω πρὸς μικρὰν διαδραμόντες ὥραν,
κονταρέας δεδώκαμεν, μηδενὸς κρημνισθέντος.
Χωρισθέντες οὖν παρευθύς, εἱλκύσαμεν τὰς σπάθας,
καὶ κρούοντες ἐνστατικῶς, ἐμπεσόντες ἀλλήλοις.
[§ 495] Ἐφειδόμην γάρ, βέλτιστε, τοῦ ἀδικῆσαι ταύτην·
ἀνδρῶν γὰρ ἔστι μωμητὸν οὐ μόνον τοῦ φονεῦσαι,
ἀλλ' οὐδὲ ὅλως πόλεμον μετὰ γυναικὸς στῆσαι·
αὕτη δὲ ἦν ὀνομαστὴ τῶν τότε ἐν ἀνδρείᾳ,

742 χαιρετήσαντος—750 στῆσαι μετὰ γυναικός·—

722. Τὰς ἑαυτῆς δύο θαλαμηπόλους. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 3723, ταυτάριθμον παραλλαγὴν Τ, ὡς καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.
732-733. Οἱ δυὸ οὗτοι στίχοι ἐλήφθησαν ἐξ ἀπομιμήσεως καὶ κατ' ἀντιγραφὴν σχεδὸν ἐκ τοῦ μυθιστορήματος τοῦ Ἡλιοδώρου. Πρβλ. Αἰθιοπικά, βιβλ. Α', κεφ. α', ἐδάφ. 1. Πρβλ. καὶ ἀντίστοιχ. χωρίον ἐν Α 3733-3734.
735 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 3736 ἑξ., βλέπε δὲ καὶ ὑποσημ. Α 3733 ἑξ. Ὡς πρὸς τὴν ἐνδυμασίαν τῆς Μαξιμοῦς βλέπε ὑποσημ. Α 3739 ἑξ. Περὶ ὁλοβήρων καὶ καστορίων βλέπε ὑποσημ. Α 3454-3455, Α 1211 καὶ ἐν τοῖς Εὑρετηρίοις ἀμφοτέρων τῶν τόμων. Περὶ φακεολιτζίου βλέπε ὡσαύτως ἐν τῷ Εὑρετηρίῳ α', τόμου, ἐν λέξει φακιόλι.

τούτου χάριν τὸν πόλεμον οὐδαμῶς ἐπῃσχύνθην·
χεῖρα αὐτῆς τὴν δεξιὰν πλήξας τε πρὸ δακτύλων,
ἡ μὲν σπάθη ἐπὶ τὴν γῆν πέπτωκεν ἣν κατεῖχεν.
[§ 496] Τρόμος δὲ ταύτην εἴληφε καὶ δειλία μεγίστη·
ἐγὼ δὲ ἐξεφώνησα· «Μαξιμού, μὴ φοβεῖσαι,
»οἰκτείρω γάρ σε ὡς γυνὴν καὶ κάλλους πεπλησμένην·
»ἵνα δὲ γνώσῃ τίς εἰμὶ ἀκριβῶς ἐκ τῶν ἔργων,
»τὴν ἰσχὺν ἐπιδείξω σοι τὴν ἐμὴν ἐν τῷ ἵππῳ». 62β
Καὶ σπαθέαν καταβατὴν εἰς τοὺς νεφροὺς εὐθέως
τοῦ φαρίου κατήγαγον καὶ διῃρέθη μέσον,
πεσόντος τοῦ ἡμίσεως εἰς μέρος μετ' ἐκείνης,
τοῦ δὲ λοιποῦ ἑτέρωθεν εἰς γῆν κατενεχθέντος.
[§ 497–498] Ἡ δὲ ἀναποδίσασα, λίαν τεταραγμένη,
συγκεκομμένῃ τῇ φωνῇ «Ἐλέησον», ἐβόα·
«Ἐλέησόν με, κύριε, τὴν κακῶς πλανηθεῖσαν,
»μᾶλλον, εἰ οὐκ ἀπαξιοῖς, ποιήσωμεν φιλίαν·
»ἔτι παρθένος γάρ εἰμι ὑπ' οὐδενὸς φθαρεῖσα,
»σὺ μόνος με ἐνίκησας, σύ με ἀποκερδίσεις·
»ἕξεις δέ με καὶ συνεργὸν εἰς τοὺς ὑπεναντίους».
[§ 499]«Οὐκ ἀποθνήσκεις, Μαξιμού, πρὸς αὐτὴν ἄρτι ἔφην,
»τὸ δὲ ἔχειν σε γαμετὴν οὐ δυνατόν μοι ἔσται,
»νόμιμον ἔχω γαμετὴν εὐγενῆ καὶ ὡραίαν,
»ἧς ἀγάπην οὐδέποτε τολμήσω ἀθετῆσαι.
»Λοιπὸν δεῦρο ὑπὸ σκιὰν ἀπέλθωμεν τοῦ δένδρου,
»καὶ διδάξω σε ἅπαντα τὰ κατ' ἐμὲ ὡς ἔχουν».
[§ 500] Ἐλθόντες δὲ πρὸς ποταμοῦ τὰ γειτνιῶντα δένδρα
ἡ Μαξιμού, τὴν ἑαυτῆς ἀποπλύνασα χεῖρα,
καὶ δόκιμον ἐν τῇ πληγῇ ἄλειμμα ἐπιθεῖσα,
ὅπερ φέρειν εἰώθαμεν ἀεὶ ἐν τοῖς πολέμοις,
ῥίπτει τὸ ἐπιλώρικον, πολὺς γὰρ ἦν ὁ καύσων.
[§ 501] Καὶ ὁ χιτὼν τῆς Μαξιμοῦς ὑπῆρχεν ἀραχνώδης,
πάντα καθάπερ ἔσοπτρον ἐμφαίνοντο τὰ μέλη,
καὶ τοὺς μαστοὺς προκύπτοντας μικρὸν ἄρτι τῶν στέρνων.

772 ἔστι + ἔσται—778 ἀποπλύσασα

768 ἑξ. Διὰ τὰ περὶ τῆς παρθενίας τῆς Μαξιμοῦς πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 3780 ἑξ. βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.
782 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 3797 (2627) ἑξ., βλέπε δὲ καὶ ὑποσημ. Α 3797 ἑξ.
784. Καὶ τοὺς μαστοὺς προκύπτοντας μικρὸν ἄρτι τῶν στέρνων. Πρβλ. ἀντίστοιχ. χωρίον Ἀχιλλ. Τατίου : «Μαστοὶ τῶν στέρνων ἠρέμα προκύπτοντες». (Τατ. βιβλ. Α' κεφ. 1). Βλέπε σχετικῶς καὶ ὑποσημ. Α 3797 ἑξ.

Καὶ ἐτρώθη μου ἡ ψυχή, ὡραία γὰρ ὑπῆρχε.

* *
*

[§ 508] »Χεῖρα ὅπως ἐπλήγωσα τὴν δεξιὰν ἐκείνης 63α
»καὶ εἰ μὴ θᾶττον ἐπέζευον καὶ ὑπέβρεχον ὕδωρ
»ταύτην οἰκτείρας ὡς γυνὴν καὶ ἀσθενῆ τῇ φύσει·
»τὴν μὲν χεῖρα ἀπέπλυνα τὴν πληγὴν καταδήσας,
»διὰ τοῦτο ἐβράδυνα, φῶς μου μεμυρισμένον,
»ἵν' ὅπως μὴ ὀνειδισθῶ ὡς γυναῖκα φονεύσας».
Ταῦτα εἰπών, ἀναψυχὴν ἐλάμβανεν ἡ κόρη,
ἀληθεύειν νομίσασα ἐμὲ ἐν τοῖς ῥηθεῖσιν.
[✱] Εἶτα καὶ κατὰ νοῦν βαλὼν τὰ ῥήματα τῆς κόρης,
καὶ ὅλως τῷ θυμῷ αὐτὸς εἰς ἄκρον ὑπερζέσας,
καβαλλικεύω παρευθύς, δῆθεν εἰς τὸ κυνῆγιν,
καὶ ταύτην δὲ καταλαβὼν ἀνηλεῶς ἀνεῖλον,
μοιχείαν, φόνον τότε γὰρ ἐκτελέσας ἀθλίως,
καὶ οὕτως ὑποστρέψας γε ἔνθα ἦτον ἡ κόρη.
[§ 509] Καὶ ἐκεῖσε τὴν ἅπασαν ποιήσαντες ἡμέραν
ἀμφότεροι κατήλθομεν τῇ ἐξῆς ἐν τῇ τένδᾳ,
καὶ ἐπὶ τὴν ἀπόλαυσιν τῶν λειμώνων ἐκείνων.
[§ 512] Καὶ μεθ' ἡμέρας σκέψεως καὶ βουλῆς παγκαλλίστης,
ἐν τῷ Εὐφράτῃ ἔκρινα τὴν οἴκησιν ποιῆσαι,
κατασκευάσαι με λαμπρὸν καὶ ἐξαίσιον οἶκον.

785. Μετὰ τὸν στίχον τοῦτον ὑπάρχει εἰς τὸ χειρόγραφον παράλειψις τοῦ χωρίου ἔνθα θὰ περιεγράφοντο αἱ λεπτομέρειαι περὶ τῆς μοιχείας τοῦ Διγενοῦς μετὰ τῆς Μαξιμοῦς, ἤτοι 50 καὶ πλέον στίχοι, συνεπείᾳ ἀποσπάσεως ἑνὸς ὁλοκλήρου φύλλου τοῦ κώδικος. Τὸ ἐν προκειμένῳ φύλλον κατὰ πᾶσαν πιθανότητα ἀπεκόπη ὑπό τινος τῶν διαδοχικῶν τοῦ χειρογράφου κατόχων, σκανδαλισθέντος προφανῶς ἐκ τῆς ἀσέμνου περιγραφῆς, τῆς ὁποίας τὸ περιεχόμενον διεσώθη ἐν Α 3802-3842 (2632-2672). Βλέπε σχετικῶς αὐτόθι.
786 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 3843 ἑξ.
794 ἑξ. Πρβλ. διαφορὰς ἐν Α 3853 ἑξ., βλέπε δὲ καὶ ὑποσημ. Α 3852 (2682). Τὰ περὶ φόνου τῆς Μαξιμοῦς ὑπὸ τοῦ Ἀκρίτου δὲν ἀπαντῶσι εἰς τὰ κείμενα τῶν λοιπῶν διασκευῶν τοῦ Ἔπους.

ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ

[§ 515] Βασίλειος ὁ θαυμαστὸς καὶ Διγενὴς Ἀκρίτης
τῶν Καππαδόκων τὸ τερπνὸν καὶ πανευθαλὲς ῥόδον
ὁ τῆς ἀνδρείας στέφανος, ἡ κεφαλὴ τῆς τόλμης,
πάντων τῶν νέων ὁ τερπνὸς καὶ παγκάλλιστος κόσμος,
μετὰ τὸ πάσας ἀνδρικῶς τὰς ἄκρας ὑποτάξαι,
πλείστας τε πόλεις, κατασχὼν καὶ χώρας ἀπειθούντων, 63β
οἰκῆσαι ᾑρετίσατο πλησίον τοῦ Εὐφράτου.
Οὗτος δὲ πάντων ποταμὸς ὁ κάλλιστος ὑπῆρχεν,
τὴν κρήνην ἔχων ἐξ αὐτοῦ μεγάλου παραδείσου·
διὰ τοῦτο γλυκύτητα ἔχει εὐωδεστάτην,
ψυχρότητα χιόνος τε ἀρτίως λελυμένης.
[§ 516] Ἐξ αὐτοῦ δὲ τοῦ ποταμοῦ ὕδωρ μετοχετεύσας.

2 ὁ τερπνὸς καὶ πανευθαλὴς ἔρνος. Διώρθωσα κατὰ Α 3893 (2691).—
3 ἡ τῆς ἀνδρείας τόλμης + κεφαλὴ τῆς—

1 Ὁ ἕβδομος λόγος τῆς παρούσης διασκευῆς ἀντιστοιχεῖ πρὸς τοὺς ὄγδοον καὶ ἔνατον λόγους τῶν διασκευῶν τῆς ὁμάδος Τ, Α καὶ Π, περιλαμβάνει δὲ τὸ κείμενον τὸ ἀντιστοιχοῦν πρὸς Α 3892-4342.
8 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 3900 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ.
11 Ὁ στίχος προέρχεται κατὰ πᾶσαν πιθανότητα ἐξ ἀπομιμήσεως χωρίου τοῦ Ἀχιλλ. Τατίου, ἔνθα περιγράφεται ἄλσος κλπ., «παρέρρει δὲ ὕδωρ ψυχρόν τε καὶ διαυγές, οἷον ἀπὸ χιόνος ἄρτι λυθείσης ἄρχεται». (Τατ. βιβλ. Α', κεφ. 2). Πρβλ. ὡσαύτως καὶ σχετικὸν χωρίον Ἀρριανοῦ, περὶ οὗ γίνεται λόγος ἐν τῇ ἀμέσως ἑπομένῃ ὑποσημ. Κζ 12 καὶ ἀναφερομένου εἰς τὸν Εὐφράτην. Εἰς τὸ ἐν λόγῳ χωρίον ἀναφέρονται ἐπίσης καὶ «χιόνες κατατηκόμεναι» ἐκ τῶν ὀρέων τῆς Ἀρμενίας, ὁπόθεν πηγάζει ὁ Εὐφράτης, γίνεται δὲ καὶ λεπτομερὴς λόγος περὶ τοῦ ῥοῦ τοῦ ποταμοῦ «τετηκυίας τῆς χιόνος».
12 Περὶ τοῦ Εὐφράτου γίνεται λόγος καὶ ἐν Ἀρριανοῦ Ἀναβάσει Ἀλεξάνδρου, βιβλ. 7, κεφ. 21, ἔνθα ἀναφέρεται ὅτι ὁ ῥοῦς τοῦ ποταμοῦ τούτου μέτριος κατὰ τὴν χειμερινὴν περίοδον, αὐξάνει κατὰ τὸ ἔαρ, ἰδίως δὲ κατὰ τὴν ἐποχὴν τῆς τήξεως τῶν χιόνων τῶν ὀρέων τῆς Ἀρμενίας, ὁπόθεν πηγάζει, καθίσταται δὲ τότε ὑπερβολικός. Ὁ κίνδυνος ὅμως τῶν πλημμυρῶν ἀποφεύγεται λόγῳ τῆς διώρυγος τοῦ Παλλακόπα, ὁπόθεν μέγα μέρος τοῦ ὕδατος τοῦ ποταμοῦ ἐκφεύγει πρὸς τὴν Ἀσσυρίαν γῆν, τὴν ὁποίαν ἀρδεύει. Περαιτέρω γίνεται λόγος περὶ σκέψεων τοῦ Μ. Ἀλεξάνδρου πρὸς καλλιτέραν μετοχέτευσιν καὶ ἐν γένει διαρρύθμισιν τοῦ ῥοῦ τοῦ Εὐφράτου. Ἐξ ἀπομιμήσεως τοῦ Ἀρριανοῦ ὁ ποιητὴς τοῦ Ἀκριτ. ἔπους φαίνεται ὅτι ἐνεπνεύσθη τὸ παρὸν χωρίον. Βλέπε σχετικῶς καὶ ἐν Ε 1627 ἑξ., ἔνθα ἡ ἰδέα καὶ ἡ ἀπομίμησις διαφαίνονται σαφέστερον. Πρβλ. ὡσαύτως καὶ στίχ. Α 3904

ἄλλον τερπνὸν παράδεισον ἐφύτευσεν ἐκεῖθεν,
ἄλσος ξένον, εὐθέατον τοῖς ὀφθαλμοῖς τῷ ὄντι.
Περὶ τὸ ἄλσος τεῖχος ἦν αὔταρκες μὲν εἰς ὕψος,
πλευρὰς δὲ ἔχον τέσσαρας ὑπὸ ξυστῶν μαρμάρων.
[§ 517] Ἔσωθεν δὲ ἡ τῶν φυτῶν πανήγυρις ἐκόμα,
φαιδρῶς οἱ κλάδοι ἔθαλλον προσπίπτοντες ἀλλήλοις,
τοσαύτη τις ἐτύγχανε τῶν δένδρων ἁμιλλία·
ἄμπελοι ἑκατέρωθεν ἐξήρτηντο ὡραῖοι,
κάλαμοι ἐπεφύοντο εἰς ὕψος ἐπηρμένοι,
οἱ καρποὶ ἐξεκρέμαντο, ἀνθῶν τἄλλα ἐπ᾽ ἄλλων,
ὁ λειμὼν φαιδρῶς ἔθαλλε τῶν δένδρων ὑποκάτω
ποικίλην ἔχων τὴν χροὰν τοῖς ἄνθεσιν ἀστράπτων,
τὰ μὲν εὐώδη νάρκισσα, ῥόδα τε καὶ μυρσίναι,
τὰ ῥόδα γῆς ἐτύγχανον πορφυρόβαφος κόσμος,
γάλακτος ἔστιλβον χροὰν οἱ νάρκισσοι ἐν μέρει,
τὰ ἴα ἀπαστράπτοντα χροὰν εἶχον θαλάσσης
ἐν γαλήνῃ ὑπὸ λεπτῆς σαλευομένης αὔρας·
ὕδωρ ἀφθόνως πάντοθεν ἔρρεε τῷ λειμῶνι.
[§ 518] Ὀρνίθων γένη ἱκανὰ ἐνέμοντο ἐκεῖσε, 64α
τὰ μὲν κολακευόμενα τροφὴν ἐν τοῖς ἀνθρώποις,
τὰ δὲ λοιπὰ ἐλεύθερον τὸ πτερὸν κεκτημένα
ἔπαιζον ἐποχούμενα πρὸς τῶν δένδρων τὰ ὕψη,
τὰ μὲν ᾄδοντα ᾄσματι λιγυρῶς τὰ ὀρνίθια,
τὰ δὲ ἀγλαϊζόμενα τῇ στολῇ τῶν πτερύγων,
χειροήθεις ταῶνες μέν, ψιττακοὶ καὶ οἱ κύκνοι,
οἱ μὲν κύκνοι ἐν ὕδασι τὴν νομὴν ἐποιοῦντο,
ἐν τοῖς κλώνοις οἱ ψιττακοὶ ᾖδον περὶ τὰ δένδρα,
οἱ ταῶνες τὰς πτέρυγας κυκλοῦντες εἰς τὰ ἄνθη,

22 ἀνθ᾽ ὧν τ᾽ ἄλλα—37 χειροήθεις μὲν ταῶνες, ψιττακοὶ καὶ οἱ κύκνοι,—

13. ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 3904 ἑξ. Βλέπε δὲ καὶ ὑποσημ. Α 3904 ἑξ. ὡς καὶ σχετικὰς παραπομπὰς αὐτόθι. Βλέπε ὡσαύτως ἀνάλογα χωρία περιγραφῆς τοῦ λειμῶνος ἐν Κστ 15 ἑξ., ἔνθα πρόκειται περὶ ἀπομιμήσεως ἐκ τοῦ Ἀχιλλ. Τατίου, ὡς καὶ ἐν τῷ παρόντι χωρίῳ.
15 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 3907 ἑξ. ὑποσημ. Α 3906 ἑξ., ἔνθα παρέχεται τὸ σχετικὸν χωρίον τοῦ Τατίου, οὗτινος τὸ παρὸν εἶναι μίμησις.
17 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 3913 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι, ἔνθα παρέχονται σχετικὰ χωρία τοῦ Τατίου, ὧν τὸ παρὸν εἶναι μίμησις.
23 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 3917 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι, ἔνθα παρέχονται σχετικὰ χωρία τοῦ Τατίου, ὧν τὸ παρὸν εἶναι μίμησις.
31 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 3923 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι, ἔνθα παρέχεται σχετικὸν χωρίον τοῦ Τατίου, οὗτινος τὸ παρὸν εἶναι μίμησις.

ἀντέλαμπεν ἡ τῶν ἀνθῶν ἐν ταῖς πτέρυξι θέα.
[§ 519-520] Μέσον αὐτοῦ τοῦ θαυμαστοῦ καὶ τερπνοῦ ⟨παραδείσου,
οἶκον τερπνὸν ἀνήγειρεν ὁ γενναῖος Ἀκρίτης
εὐμεγέθη, τετράγωνον ἐκ λίθων πεπρισμένων,
ἄνωθεν δὲ μετὰ σεμνῶν κιόνων καὶ θυρίδων·
τοὺς ὀρόφους ἐκόσμησε πάντας μετὰ μουσίου
ἐκ μαρμάρων πολυτελῶν τῇ αἴγλῃ ἀστραπτόντων,
τὸ ἔδαφος ἐφαίδρυνεν, ἐψήφωσεν ἐν λίθοις.
[§ 521] Ἔσωθεν δὲ τριώροφα ποιήσας ὑπερῷα,
ἔχοντα ὕψος ἱκανόν, ὀρόφους παμποικίλους,
ἀνδριάντας σταυροειδεῖς, πεντακούβουκλα ξένα
μετὰ μαρμάρων φαεινῶν λίαν ἀστραπηβόλων,
τοσοῦτον δὲ ἐκάλλυνε τὸ ἔργον ὁ τεχνίτης,
ὥστε νομίζειν ὑφαντὰ τὰ ὁρώμενα εἶναι
ἔκ τε τῶν λίθων τῆς φαιδρᾶς καὶ πολυμόρφου θέας·
τὸ ἔδαφος κατέστρωσεν ἐκ λίθων ὀνυχίτων
ἠκονημένων ἰσχυρῶς, ὡς δοκεῖν τοὺς ὁρῶντας
ὕδωρ ὑπάρχειν πεπηγὸς εἰς κρυστάλλινον φύσιν. 64β
[§ 524-526] Ἀμφοτέρωθεν ἵδρυσε τῶν μερῶν ἐκ πλαγίου

42 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 3932 ἑξ., ὡς καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι. Ἡ ἐν προκειμένῳ περιγραφὴ τοῦ παλατίου τοῦ Ἀκρίτου παρουσιάζει κατὰ τὸν Grégoire πολλὰς ἀναλογίας πρὸς τὸν ἐν Κομμαγηνῇ μέγαν τάφον τῆς μητρὸς τοῦ Μιθριδάτου. Ὁ τάφος οὗτος, οὗτινος τὰ μεγαλοπρεπῆ ἐρείπια σῴζονται εἰσέτι ἐπὶ τοῦ ὄρους Karakus παρὰ τὰ Σαμόσατα, ὁμοιάζει πρὸς μέγαρον, φέρει δὲ κίονας δωρικοὺς μὲ μορφὰς πτηνῶν καὶ ζώων καὶ δὴ ἀετῶν καὶ ταύρων. Ἐντεῦθεν ὁρμώμενος ὁ Grégoire προτείνει διόρθωσιν τοῦ στιχ. 51 εἰς «ἀνδριάντας ταυροειδεῖς», ἀντὶ τοῦ «σταυροειδεῖς», ὡς κεῖται ἐν τῷ χειρογράφῳ. Βλέπε σχετικῶς μελέτην Grégoire, Le tombeau et la date de Digénis Akritas ἐν Byzantion VI, σελ. 504. Βλέπε ὡσαύτως καὶ ὑποσημ. Α 3993 ἑξ. ἐν τέλει. Προτιμῶ τὴν γραφὴν «σταυροειδεῖς», ἥτις μοῦ φαίνεται σχετιζομένη πρὸς τὸν στίχ. Α 3973 (2770) καὶ ἀναφερομένη μᾶλλον εἰς τὸν τρίκλινον, ἀντὶ τῆς ὑπὸ τοῦ Grégoire προτειμένης γραφῆς «ταυροειδεῖς», ἥτις φαίνεται οὐχὶ πιθανή. Βλέπε σχετικῶς καὶ ὑποσημ. Α 3963. Πιθανώτερον φαίνεται μάλιστα ὅτι τὸ παρὸν χωρίον προέρχεται οὐχὶ ἐξ ἐμπνεύσεως τοῦ ἐν Karakus τάφου, ὡς ὑποθέτει ὁ Grégoire, ἀλλὰ μᾶλλον ἐκ σχετικῆς περιγραφῆς τοῦ Κωνσταντίνου Ζ' Πορφυρογεννήτου περιλαμβανομένης ἐν τῷ βίῳ τοῦ Βασιλείου Α' Μακεδόνος, ἔνθα γίνεται λόγος περὶ τῶν κτισθέντων ὑπὸ τοῦ μεγάλου τούτου αὐτοκράτορος μεγάρων, ἐν οἷς συγκαταλέγεται καὶ τὸ περίφημον Πεντακούβουκλον (πρβλ. καὶ στίχ. ΚΖ 51), ἤτοι μέγαρον μὲ πέντε θόλους. Ὁ βίος τοῦ Βασιλείου Μακεδόνος συγγραφεὶς ὑπὸ Κωνστ. Ζ' Πορφυρογεννήτου περιλαμβάνεται εἰς τὴν Χρονογραφίαν τῶν Συνεχιστῶν τοῦ Θεοφάνους. Βλέπε σχετικῶς Συνεχιστήν, ἐκδ. Βόννης, σελ. 328-336. Βλέπε ὅμως καὶ ἐν Ch. Diehl, Manuel d' Art Byzantin, τόμ. α', σελ. 413-414.

χαμοτρικλίνους θαυμαστούς, εὐμήκεις, χρυσωρόφους,
ἐν οἷς πάντων τὰ τρόπαια τῶν πάλαι ἐν ἀνδρείᾳ
λαμψάντων ἀνιστόρησε χρυσόμουσα ὡραία,
τὴν τοῦ Σαμψὼν ἀρχίσας τε πρὸς ἀλλοφύλους μάχην,
λέοντα ὅπως ἔσχισε τῇ χειρὶ παραδόξως,
πύλας ὅπως μετὰ κλειθρῶν πόλεως ἀλλοφύλων
ἐν τῷ λόφῳ ἠγάγετο, ὁπότε ἀπεκλείσθη·
ἀλλοφύλων τοὺς ἐμπαιγμοὺς καὶ τὰς ἐξολοθρεύσεις·
τελευταῖον τὴν τοῦ ναοῦ κατάλυσιν ἀθρόαν
τὴν γεναμένην παρ' αὐτοῦ ἐν ταῖς πάλαι ἡμέραις,
καὶ αὐτὸν ἀπολλύμενον μετὰ τῶν ἀλλοφύλων.
[§ 527] Μέσον παράγει τὸν Δαυῒδ χωρὶς ὅπλων παντοίων,
μόνην σφενδόνην τῇ χειρὶ κατέχων καὶ τὸν λίθον·
ἐκεῖθεν δὲ τὸν Γολιὰθ μέγαν τῇ ἡλικίᾳ,
καὶ τῇ ἰδέᾳ φοβερὸν πολύν τε ἐν ἰσχύϊ,
πεφραγμένον ἐν κεφαλῇ μέχρι ποδῶν σιδήρῳ
καὶ τῇ χειρὶ ἀκόντιον φέροντα ὡς ἀττίον
ὁλοσίδηρον τῇ χροᾷ τῇ τοῦ ζωγράφου τέχνῃ·
ἔγραψε τούτου καὶ αὐτὰ τὰ κινήματα πολέμου·
λίθῳ εὐστόχως τε βληθεὶς ὁ Γολιὰθ εὐθέως
ἐπὶ τὴν γῆν κατέπεσε τρωμένος παραυτίκα,
καὶ τὸν Δαυῒδ δραμόντα τε καὶ ἄραντα τὸ ξίφος
καὶ τεμόντα τὴν κεφαλὴν καὶ λαβόντα τὸ νῖκος.
[§ 528] Εἶτα τὸν φθόνον τοῦ Σαούλ, φυγὴν τοῦ πρᾳοτάτου,
τὰς μυρίας ἐπιβουλάς, Θεοῦ τὰς ἐκδικήσεις.
[§ 529] Ἀχιλλέως ἱστόρησε τοὺς μυθικοὺς πολέμους 65α

78 Τὰ κινήματα τοῦ πολέμου—83 τὸν φόβον τοῦ Σαούλ. Διώρθωσα κατὰ Α 4015 (2812).—

60. Περὶ τρικλίνων βλέπε ὑποσημ. Α 3963 ἑξ. Χαμοτρίκλινοι ἐκαλοῦντο οἱ τρίκλινοι τοῦ κάτω πατώματος μεγάρου. Περίφημοι ἐν τῇ ἱστορίᾳ κατέστησαν ὁ Μέγας Τρίκλινος τῶν Δέκα ἐννέα Ἀκκουβίτων ἢ κλινῶν καὶ ὁ Χρυσοτρίκλινος, ἀμφότεροι εὑρισκόμενοι εἰς τὰ ἀνάκτορα τῶν βυζαντινῶν αὐτοκρατόρων ἐν Κων)πόλει. Βλέπε σχετικῶς ἐν Ch. Diehl, Manuel d' Art Byzantin, τόμ. α', σελ. 415 καὶ 421 ἑξ.

61 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 3993 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.

85 ἑξ. Ἡ ἀπαρίθμησις τῶν ἐν προκειμένῳ προσώπων τῆς ἀρχαιότητος ὑποθέτω ὅτι δὲν εἶναι ἄσχετος πρὸς τὸ κάτωθι χωρίον τοῦ Ἀχιλλ. Τατίου: «Ἂν τὸ Χρυσηΐδος κάλλος Ἀγαμέμνων ποθῇ, λοιμὸν τοῖς Ἕλλησι ποιεῖ. Ἂν τὸ Βρισηΐδος κάλλος Ἀχιλλεὺς ποθῇ πένθος αὐτῷ προξενεῖ ... ὁ δὲ Πηνελόπης γάμος τῆς σώφρονος πόσους νυμφίους ἀπώλεσε; ... Ἀγαμέμνονα ἔδει φονευθῆναι τὸν καλόν, οὗ κάλλος οὐράνιον ἦν». (Τάτ. βιβλ. Α', κεφ. 8). Συνεπῶς διατηρῶ ὡς ἔχει τὸν στίχ. Κζ 86, ἀκυρῶ δὲ καὶ τὴν καθ' ὑπόδειξιν τοῦ Grégoire διόρθωσιν «καὶ κόρην Ἀγαμέμνονος»,

τὸ κάλλος Ἀγαμέμνονος, σφαγὴν τὴν ὀλεθρίαν·
Πηνελόπην τὴν σώφρονα, τοὺς κτανθέντας νυμφίους·
Ὀδυσσέως τὴν θαυμαστὴν πρὸς τὸν Κύκλωπα τόλμην·
Βελλεροφόντην κτείναντα Χίμαιραν τὴν πυρφόρον·
Ἀλεξάνδρου τὰ τρόπαια, τὴν τοῦ Δαρείου ἧτταν·
Κανδάκης τὰ βασίλεια καὶ τὴν αὐτῆς σοφίαν,
τὴν πρὸς Βραχμᾶνας ἄφιξιν, αὖθις πρὸς Ἀμαζόνας,
λοιπά τε κατορθώματα τοῦ σοφοῦ Ἀλεξάνδρου,
ἄλλα τε πλήθη θαυμαστά, πολυειδεῖς ἀνδρείας.
[§ 530] Τὰ τοῦ Μωσέως θαύματα, πληγὰς τῶν Αἰγυπτίων,
Ἰουδαίων τὴν ἔξοδον, γογγυσμοὺς ἀγνωμόνων,
Θεοῦ τὴν ἀγανάκτησιν, θεράποντος δεήσεις,
καὶ Ἰησοῦ τὰς τοῦ Ναυῆ ἐνδόξους ἀριστείας.
[§ 531] Ταῦτα καὶ ἄλλα πλείονα ἐν τοῖς δυσὶ τρικλίνοις
ὁ Διγενὴς ἱστόρησε χρυσόμουσα ποιήσας·
ἃ τοῖς ὁρῶσιν ἄπειρον τὴν ἡδονὴν παρεῖχον.
[§ 534-557] Ἐντὸς τοῦ οἴκου τῆς αὐλῆς ὑπῆρχε τὸ πεδίον
πολὺ ἔχον διάστημα εἴς τε μῆκος καὶ πλάτος·
τούτου ἐν μέσῳ ἵδρυσε ναόν, ἔνδοξον ἔργον,
ἁγίου ἐν ὀνόματι μάρτυρος Θεοδώρου·
καὶ ἐν αὐτῷ τὸν ἴδιον πανέντιμον πατέρα
θάπτει κομίσας τὸν νεκρὸν ἀπὸ Καππαδοκίας,
λίθοις τὸ μνῆμα φαεινοῖς ὡς ἔπρεπε κοσμήσας.
[§ 537] Τότε πεῖραν ὁ θαυμαστὸς πρῶτον θλίψεως ἔσχε·
μαθὼν γὰρ νόσον τῷ πατρὶ περιελθοῦσαν τότε, 65β
καὶ ὅτι πέφυκε δεινὴ θανάτῳ γειτνιῶσα,
ἔσπευδε τοῦ καταλαβεῖν τὴν Καππαδόκων χώραν·

86 φυγὴν τὴν ὀλεθρίαν·—92 Βραγμᾶνας—

ἣν εἶχον υἱοθετήσει πρὸς διόρθωσιν τοῦ ἀντιστοίχου ἐσφαλμένου στίχου Α 4021, ὅστις δέον νὰ διορθωθῇ ὡς ὁ Κζ 86, ἤτοι ὡς ἑξῆς: «καὶ κάλλος Ἀγαμέμνονος, σφαγὴν τὴν ὀλεθρίαν». Βλέπε ἀντίστοιχ. χωρίον ἐν Α 4020 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι, ἔνθα παρέχονται εἰδήσεις περὶ τῆς κοσμικῆς ζωγραφικῆς τῶν βυζαντινῶν. Πρβλ. ὡσαύτως καὶ ὅσα σχετικῶς ἀναφέρει ὁ Χωνιάτης, ἐν Κυριακ. Διγ. Ἀκρ., σελ. 112-113.


89 Βλέπε σχετικῶς ἀντίστοιχ. χωρίον ἐν Α 4024 καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.

92 Ὁ στίχος οὗτος παρουσιάζει ἀναλογίαν πρὸς τὸ κείμενον τῆς ἐμμέτρου μεσαιων. διασκευῆς τοῦ βίου τοῦ Ἀλεξάνδρου κατὰ τὴν ψευδοκαλλισθένειον παράδοσιν, ἐκδ. Wagner, οὗ πλήρη τίτλον βλέπε ἐν Βιβλιογραφίᾳ α' τόμου τοῦ παρόντος ἔργου, σελ. μβ', τίτλ. 33. Πρβλ. σχετικῶς στίχ. 5475, 5552, 5570 ἑξ. τοῦ ἐν λόγῳ κειμένου.

105 Βλέπε ἀντίστοιχ. χωρίον ἐν Α 4059 καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι. Περὶ Ἁγίων Θεοδώρων βλέπε ὡσαύτως ἐν Κα 21 ἑξ., ὡς καὶ ταυτάριθμ. ὑποσημείωσιν.

πλησίον δὲ τοῦ γονικοῦ ὡς ἐγένετο οἴκου,
ὀδυρομένους ἅπαντας ὁρᾷ τοὺς συναντῶντας.
[§ 538] Καί, μαθὼν ὅτι ὁ πατὴρ ἀπέλιπε τὸν βίον,
τὴν ἐσθῆτα διέρρηξε καὶ τοῦ ἵππου κατῆλθεν,
ἔνδοθεν δὲ γενόμενος, περιπλακεὶς τὸ σῶμα,
θρηνῳδῶν ἐπεφθέγγετο μετὰ δακρύων τάδε·
«Ἀνάστα, πάτερ, θέασαι τὸ φίλτατόν σου τέκνον·
»θέασαι τὸν μονογενῆ, λαλιὰν μικρὰν φθέγξον·
»νουθέτησε καὶ βούλευσε, μή με σιγῶν παρέλθῃς».
Εἶτα πάλιν αὐξήσας γε ἐπὶ πολὺν τὸν θρῆνον,
βοῶν ἐναπεφθέγγετο εἰς εὐήκοον πάντων·
«Οὐκ ἀποκρίνῃ μοι τῷ σῷ ποθεινοτάτῳ τέκνῳ;
»οὐκ ἀποφθέγγῃ μοι λαλῶν ὡς ἔθος εἶχες πάντα;
»οἴμοι σιγᾷ τὸ μαντικὸν καὶ θεηγόρον στόμα·
»οἴμοι ἐκλείσθη ἡ φωνὴ ἡ πᾶσιν ἡδυτάτη.
[§ 539] »Ποῦ δὲ τὸ φῶς τῶν ὀφθαλμῶν, ποῦ τῆς μορφῆς (τὸ κάλλος;
»τίς τὰς χεῖρας ἐδέσμευσε; τίς τὴν ἰσχὺν ἀφεῖλε;
»τίς τῶν ποδῶν ἐκώλυσε τὸν ἀνείκαστον δρόμον;
»τίς ἀγάπην τὴν ἄπειρον τὴν πρὸς ἐμέ σου, πάτερ,
»χωρῖσαι κατετόλμησε; ὢ τῆς παρανομίας,
»ὢ τῆς ἀθρόας συμφορᾶς, ὢ τῆς πικρᾶς ὀδύνης!
»Πῶς μετὰ πόνου τὴν ψυχὴν παρέδωκας καὶ λύπης,
»καλῶν με ἐξ ὀνόματος ἄχρι τέλους ζωῆς σου;
[§ 540] »Ὢ ἀτυχέστατος ἐγὼ παρὰ βραχεῖαν ὥραν
»πάντως εἰ ἤκουσα φωνῆς, εὐχῆς τῆς τελευταίας, 66α
»καὶ ταῖς ἀγκάλαις τὴν ψυχὴν ταῖς ἐμαῖς ἐπαφῆκες,
»λοῦσαι τὸ σῶμα ταῖς χερσὶν εἶχον ἂν ταῖς ἰδίαις,
»καὶ καλύψαι τοὺς ὀφθαλμοὺς τοὺς σούς, ὢ καλὲ πάτερ·
»νυνὶ δὲ ἀθλιώτερος εἰμὶ παντὸς ἀνθρώπου,
»καὶ τὰ σπλάγχνα τιτρώσκει μου ἡ ἄμετρος ὀδύνη.
[§ 541] »Εἴθε μοι μᾶλλον τοῦ θανεῖν ἢ κατιδεῖν τοιαῦτα·
»τί ἀγαθόν, ὢ θάνατε, ἐφθόνησας τοιοῦτον,
»λαβεῖν ἐμὲ ἀντὶ πατρὸς καὶ τοῦτον φθάσαι ζῶντα,
»καὶ ἀπεφάνθης ἄδικος παρὰ βραχεῖαν ὥραν;»
[§ 542] Ὡς ταῦτα καὶ τὰ ὅμοια ὁ Διγενὴς ἐθρήνει,
πεποίηκεν, ὡς λέγεται, καὶ τοὺς λίθους θρηνῆσαι,
καὶ σὺν αὐτῷ ἡ θαυμαστὴ μήτηρ ἡ τοῦ Ἀκρίτου·
καὶ οὕτω συνετέλεσαν κηδεύσαντες ἐντίμως


115 Βλέπε ἀντίστοιχ. χωρίον ἐν Α 4090 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.
136 ἑξ. Πρβλ. ἀντίστ. χωρίον ἐν Α 4107 ἑξ., βλέπε δὲ καὶ ὑποσημ. Α 4110



Ἰκόνιον τῆς Μ. Ἀσίας.



Ἰκόνιον. Μερικὴ ἄποψις.



Κων/πολις. Ἡ χρυσῆ πύλη τοῦ Ἑπταπυργίου.

τοῦ πατρός τε τὴν τελευτὴν οὐκ ὀλίγας ἡμέρας.
[§ 543-544] Εἶτα λαβὼν ὁ θαυμαστὸς τὸ σῶμα τοῦ
(πατρός του,
καὶ τὴν μητέρα μετ' αὐτοῦ ἦλθεν εἰς τὰ οἰκεῖα,
καὶ οὕτω θάπτει δεύτερον ἐντίμως τὸν πατέρα
εἰς τὸν ναὸν ὅνπερ αὐτὸς ἀνήγειρεν ἐκ πόθου·
καὶ διῆγε μετὰ τοῦ υἱοῦ ἡ μήτηρ τοῦ Ἀκρίτου.
Τὰ δὲ μετέπειτα αὐτοῖς πολυέραστα ἔργα
μικρὸν ἐναποφήναντες ὑμῖν λέξομεν τάδε·
οὕτω διῆγον χαίροντες καθ' ἑκάστην ἡμέραν.
[§ 552-553] Πολλάκις δὲ ἐλάμβανε κιθάραν πρὸ τοῦ τέλους
τοῦ ἀρίστου ὁ θαυμαστός, καὶ ἐπῇδεν ἡ κόρη
μέλος, ὁποῖον Σειρηνῶν ἢ ποῖον ἀηδόνων
ὑπερέβαινεν ἡδονήν, τὰς ἀκοὰς ἐκπλῆττον.
[§ 553] Τὸν ἦχον δὲ πρὸς ὀρχησμὸν ἐκτρέπων τῆς κιθάρας,
εὐθὺς ἡ πολυώραια ἀνίστατο τῆς κλίνης,
βλαττὶν ἐξήπλωνεν ἐν γῇ, ἐπέβαινεν ἐν τούτῳ.
Φράσαι δὲ ὅλως ἀπορῶ κινήματα τῆς κόρης,
τὰς τῶν χειρῶν μεταστροφάς, ποδῶν τὰς μεταβάσεις·
ῥᾴως ἐφέροντο συχνῶς ἑπόμεναι τῷ ἤχῳ,
λυγίσματα ἀκόλουθα κρούσμασι τῆς κιθάρας,
Ὡς γὰρ μέλιτος γλύκασμα τοῖς ἀγνοοῦσι πέλει
ἐφικτόν, οὕτω τὴν χαρὰν οὐκ ἔστιν ἀπαγγεῖλαι
καὶ τέρψιν τὴν ἐξαίσιον ἰδιωμάτων ταύτης.
Εἶθ' οὕτως ἀνιστάμενοι τῆς τραπέζης προσῆκον
τῶν ἡδέων ἐτρέφοντο, εἶτα πρὸς τὸν λειμῶνα
τὸν δηλωθέντα ἄνωθεν ὡραίου παραδείσου
σφόδρα ἀγαλλιώμενοι, Θεῷ εὐχαριστοῦντες
οἱ νέοι οἱ περίβλεπτοι καὶ εὐγενεῖς τῷ ὄντι.
[§ 548] Ἓν μόνον τούτων τὰς ψυχὰς ἐλύπει καθ' ἑκάστην,
ἀτεκνίας ἡ ἄσβεστος καὶ δεινοτάτη φλόγα,
ἧς μόνοι πεῖραν ἔλαβον οἱ τέκνων ἀποροῦντες,

161 μέλος, ὁποῖον σύριγγον ἢ ποῖον ἀηδόνων—165 εὐθὺς ἡ πολυωραία—166 βλαττὶν ἐξήπλων ἐν γῇ,—178 νέοι οἱ περίβλεπτοι—179 Ὂν μόνον τούτων τὰς ψ.—

157 ἑξ. Πρβλ. διαφορὰς καὶ παραλειπόμενα χωρία ἐν Α 4141-4160 καὶ Α 4172-4199.
160 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 4200 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. ἥτις ἐκ τυπογρ. παραδρομῆς παρενεβλήθη ἐν σ. 232 τοῦ α' τόμου.
179. ἑξ. Βλέπε σχετικῶς ἀντίστοιχον χωρίον ἐν Α 4161 ἑξ. καὶ ταυτάριθμον ὑποσημ. αὐτόθι, ὡς καὶ ὑποσημ. Α 2457 ἑξ. Πρβλ. δὲ καὶ στίχ. ΚΖ 186 πρὸς Α 4171.

μεγίστην τε τὴν συμφορὰν προξενεῖ τοῖς ἐν βίῳ·
ὑπὲρ τούτου ἐδέοντο τοῦ Θεοῦ καθ' ἑκάστην.
Καὶ τῆς πρώτης τῶν ἀρετῶν ἐσεμνύνοντο σφόδρα,
τῆς εὐποιΐας λέγω δὴ καὶ τῆς ἐλεημοσύνης·
ὅμως θελήματι Θεοῦ ἥμαρτον τῆς ἐλπίδος,
ἀλλὰ λίαν ὡς σώφρονες τῷ Θεῷ ηὐχαρίστουν,
τοῖς οἰκείοις δὲ σφάλμασιν ἔγραφον τὴν αἰτίαν.
[§ 558] Ἐν τούτῳ νόσος τῇ μητρὶ ἐλθοῦσα τοῦ Ἀκρίτου,
διὰ τεσσάρων ἡμερῶν τὴν φωνὴν ἐπαφῆκε·
ἰσχυρῶς αὐτὴν ἔκλαυσε καὶ ἐπένθησε λίαν· 67α
ὁ Διγενὴς ἐν μνήματι σὺν τῷ πατρὶ κηδεύει.
Ζήσασα μετὰ τελευτὴν τοῦ ἀνδρὸς ἔτη πέντε,
καὶ πᾶσιν ἐντρυφήσασα ἀγαθοῖς ἐν τῷ κόσμῳ,
ἡ ὄντως ἀξιέπαινος ἐν γυναιξὶ φανεῖσα,
ἡ ἐν τῷ κάλλει τρέψασα ποτὲ τοὺς πολεμίους
πολλοὺς ἐλευθερώσασα δεινῆς αἰχμαλωσίας,
καὶ εἰρήνην βραβεύσασα πόλεσί τε καὶ κώμαις·
καὶ γὰρ ἐκ ταύτης ἡ ἀρχὴ γέγονε τῶν κρειττόνων
συνεργίᾳ τῇ θεϊκῇ τὴν ἔχθραν καθελοῦσα
καὶ χαρὰν ἀντεισάξασα πανταχοῦ καὶ εἰρήνην,
ῥίζαν καὶ κλάδον εὐγενῆ τεκοῦσα καὶ ὡραῖον,
ὃς πάντων τῶν Ἀγαρηνῶν φρυάγματα καθεῖλε,
καὶ πόλεις προενόμευσε καὶ τῷ κράτει συνῆψε.
[§ 563-568] Πρὸ γὰρ τούτου τοῦ θαυμαστοῦ καὶ ⟨γενναίου Ἀκρίτου
ἀδεῶς ἐξερχόμενα γένη τῶν Αἰθιόπων
ἀφειδῶς ἐξηφάνιζον τὰς πόλεις τῶν Ῥωμαίων,
καὶ οἱ τῶν δούλων ἔκγονοι παῖδας τῶν ἐλευθέρων
τοὺς τιμίους καὶ εὐγενεῖς ἐπὶ δουλείαν ἦγον.
Ἡνίκα δὲ ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ παρθένου
ὡς ἀγαθὸς ηὐδόκησε πάντας ἐλευθερῶσαι
τὴν θαυμαστὴν καὶ ἔνδοξον ποιεῖ οἰκονομίαν
φίλον γενέσθαι τὸν ἐχθρὸν καὶ ἐξ αὐτοῦ τεχθῆναι
τὸν τῆς ἀνδρείας στέφανον, τὸν Διγενῆν Ἀκρίτην,
καὶ ἐγένετο ἀληθῶς ἐξ ἐχθρῶν σωτηρία,
τοσούτων γὰρ τῶν ἀγαθῶν παρ' αὐτοῦ ἐκαρποῦτο
καὶ εἰς τὸ τέλος ἐπλήσθησαν οἱ αἰχμάλωτοι πάντες
ὡς δούλους κτῆσαι τοὺς αὐτῶν δεινοτάτους δεσπότας.
Ἄρα πόσης ἀπήλαυσαν οἱ συγγενεῖς ἐκείνων 67β
χαρμονῆς ὄντως τοὺς αὐτῶν δεξάμενοι γνωρίμους·

194 ἀγαθοῖς τοῖς ἐν τῷ κόσμῳ,—202 εἰρήνην, + ὡραῖον—203 φρυάγματα Ἀγαρηνῶν –

πόλεμος δὲ τὸ σύνολον ἢ ἀκοὴ πολέμου
οὐδαμῶς ἐγνωρίζετο ἐν ταῖς αὐτοῦ ἡμέραις,
ἀλλ' ἦν εἰρήνη πανταχοῦ, ἠρεμία μεγάλη,
καὶ πάντες ἄνθρωποι συχνῶς τῷ Θεῷ ηὐχαρίστουν,
καὶ ἅπαντες τὸν Διγενῆν ἐκάλουν εὐεργέτην,
ἀντιλήπτορα μέγιστον καὶ σὺν Θεῷ προστάτην·
καὶ πολλοὶ ἐπευφραίνοντο τῇ τούτου βασιλείᾳ
δοξάζοντες ἀσύγχυτον Τριάδα παναγίαν,
ᾗ πρέπει ἡ προσκύνησις εἰς ἅπαντας αἰῶνας.

ΛΟΓΟΣ ΟΓΔΟΟΣ

ΤΗΣ ΑΥΤΟΥ ΤΕΛΕΥΤΗΣ

[§ 573 ✱] Ἐπειδὴ πάντα τὰ τερπνὰ τοῦ πλάνου κόσμου
ᾅδης μαραίνει καὶ δεινὸς παραλαμβάνει Χάρων, ⟨τούτου
καὶ ὡς ὄναρ παρέρχεται καὶ σκιὰ παρατρέχει
καπνὸς ὥσπερ λυόμενος πᾶς πλοῦτος τοῦδε βίου,
κατέλαβε καὶ θάνατος τοῦ θαυμαστοῦ Ἀκρίτου,
γεναμένης τῆς ἀφορμῆς ἀπὸ τοῦ βαλανείου.
[✱] Ποτὲ γὰρ φίλοι πρὸς αὐτὸν ἐλθόντες ἐκ τὸ Ἔμελ,
ὀρθόδοξοι ἀπὸ πατρὸς συγγενεῖς αὐτοῦ ὄντες,
οἱ γὰρ πλείονες συγγενεῖς ταῖς χρησταῖς νουθεσίαις
τοῦ πατρὸς ἐστηρίχθησαν πρὸς ὀρθόδοξον πίστιν,
εἶχον δὲ θέλημα πολύ, ἐπιθυμίαν πάντες
τοῦτον ὁμοῦ θεάσασθαι καὶ τὴν αὐτοῦ ἀνδρείαν·
τινὲς δὲ ὄντες ἀπ' αὐτῶν τῆς πατρῴας θρησκείας
χριστιανοὶ γεγόνασιν Ἀκρίτου νουθεσίᾳ. 68α
[✱] Ἐκείνων, ὡς δεδήλωται, πρὸς τοῦτον ἀφιγμένων,
ἀσμένως τούτους δέχεται ἡ φιλάγαθος γνώμη·
τούτων ὡς ὄντων εὐγενῶν κρειττόντων τε καὶ ἄλλων,
δέδωκεν εἰς καταγωγὴν τερπνὸν ξενοδοχεῖον,
ὃ τῶν ἄλλων ἐτύγχανεν ἐγγύτερον τοῦ οἴκου·
καὶ μετ' αὐτῶν ἐφ' ἱκανὰς ἡμέρας διατρίψας,
πολλά τε καὶ ἐξαίσια ἀριστεύματα δράσας,
εἰς θήραν ἐξερχόμενος σὺν αὐτοῖς καθ' ἑκάστην,
θάμβος μὲν εἶχεν ἅπαντας καὶ ἔκπληξις μεγίστη,
κατανοοῦντες τὴν ἰσχὺν καὶ τὸν ἄπειρον δρόμον·
οὐδέπω γὰρ τὸ εὑρεθὲν εἶχε τοῦ ἀποδρᾶσαι,
ἀλλ' εἰς χεῖρας τὰς ἑαυτοῦ εἴ τι δ' ἂν καὶ ὑπῆρχε,

1 ἑξ. Πρβλ. ἀντιστοιχ. χωρίον ἐν Α 4368 ἑξ.
6. ἀπὸ τοῦ βαλανείου. Περὶ μνείας λουτροῦ ἐν συναρτήσει πρὸς τὸν θάνατον τοῦ Διγενοῦς, βλέπε κατωτέρω χωρίον Κη 31 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ.
7 Ἔμελ, ὡς ἐπίσης καὶ τὸ ἐν Ε 246 μνημονευόμενον Ἐμέκ, εἶναι κατὰ τὸν Καρολίδην παραφθορὰ τοῦ ὀνόματος τῆς Ἀμίδης τῆς Μεσοποταμίας. Βλέπε σχετικῶς ἐν Καρολ., σελ. 243, ὡς καὶ ἐν Ἐπετηρ. Βυζ. Σπουδ. σελ. 330-331.

κἂν λέων, κἂν τε ἔλαφος, κἂν ἄλλο τι θηρίον·
οὐκ εἶχε κύνας μετ' αὐτοῦ ἢ πάρδους πολυδρόμους,
οὐχ ἵππου ἐπεκάθητο, οὐ ξίφεσιν ἐχρᾶτο,
ἀλλ' ἦσαν ἅπαντα αὐτῷ χεῖρες μόνον καὶ πόδες.
[✱] Εἶτα προστάξας ἐν μιᾷ λουτρὸν εὐτρεπισθῆναι
κάλλιστον, ὃ πεποίηκε μέσον τοῦ παραδείσου,
τοῦ σὺν τοῖς φίλοις λούσασθαι, τὴν ἀφορμὴν ἐκεῖθεν
ἔσχεν ὁ πολυέραστος καὶ χρηστότατος οὗτος.
[§ 575 ✱] Νοσήματι περιπεσὼν λίαν χαλεπωτάτῳ,
ὃ παῖδες ὀπισθότονον τῶν ἰατρῶν καλοῦσιν·
γνοὺς δὲ τοῦ πόνου τὸ σφοδρόν, καταλιπὼν τοὺς φίλους,
ἐπὶ τὸν οἶκον ἔρχεται, καὶ πεσὼν ἐπὶ κλίνης
τὴν ὀδύνην καθ' ἑαυτὸν καὶ τὸν πόνον συνεῖχε,

27 κἂν ἄλλο τι θηρίον·—

31 ἑξ. Τὰ ἐν τοῖς προηγουμένοις ἀναφερόμενα περὶ δεξιώσεως φίλων, ὡς καὶ ἡ ἐν Κη 6 καὶ ἐνταῦθα μνεία τοῦ λουτροῦ ὡς ἀφορμῆς τῆς ἀσθενείας καὶ τοῦ θανάτου τοῦ Διγενοῦς προέρχονται ἐξ ἀπομιμήσεως προφανῶς σχετικῶν εἰδήσεων τοῦ βίου τοῦ Μ. Ἀλεξάνδρου. Παρὰ Πλουτάρχῳ εὕρηται ἡ πληροφορία ὅτι ὁ Ἀλέξανδρος «ἑστιάσας λαμπρῶς τοὺς περὶ Νέαρχον, εἶτα λουσάμενος, ὥσπερ εἰώθει μέλλων καθεύδειν, Μηδίου δεηθέντος ᾤχετο κωματόμενος πρὸς αὐτόν· κἀκεῖ πιὼν ὅλην τὴν ἐπιοῦσαν ἡμέραν ἤρξατο πυρέττειν, οὔτε σκύφον Ἡρακλέους ἐκπιών, οὔτε ἄφνω διαλγὴς γενόμενος τὸ μετάφρενον ὥσπερ λόγχῃ πεπληγώς, ἀλλὰ ταῦτά τινες ᾤοντο δεῖν γράφειν ὥσπερ δράματος μεγάλου τραγικὸν ἐξόδιον καὶ περιπαθὲς πλάσαντες». (Πλουτάρχου Ἀλέξανδρος, ἐν Βίοις Παραλλήλοις ἐκδ. Sintenis, Teubner Λειψίας, τόμ. Γ', σελ. 361, LXXV, στίχ. 26-32 ἑξ). Αἱ ἀνωτέρω πληροφορίαι τοῦ Πλουτάρχου ὡς καὶ αἱ ἐν τοῖς ἀμέσως ἑπομένοις ἐκτιθέμεναι λεπτομέρειαι παρὰ τῷ αὐτῷ συγγραφεῖ ληφθεῖσαι ἐκ τῶν βασιλικῶν ἐφημερίδων περὶ τῆς πορείας τῆς νόσου τοῦ Ἀλεξάνδρου, ὡς καὶ ἡ μνεία τοῦ θανάτου του ἐν ἡμέρᾳ «τρίτῃ φθίνοντος» εἶναι ἐξόχως χαρακτηριστικαί. Πρβλ. σχετικῶς χωρίον Α 4387 καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι. Σημειωτέον ὅτι καὶ ὁ Ἀλέξανδρος ἀπέθανε παρὰ τὸν Εὐφράτην εἰς τὴν Βαβυλῶνα. Καὶ παρ' Ἀρριανῷ γίνεται ἀρκετὰ λεπτομερὴς λόγος περὶ τοῦ περιεχομένου τῶν βασιλείων ἐφημερίδων εἰς τὰ πρὸ τοῦ θανάτου τοῦ Ἀλεξάνδρου. Οὗτος φέρεται διασκεδάζων παρὰ Μηδίῳ, ἔνθα μετὰ λουτρὸν ᾐσθάνθη πυρετόν. Τοῦ πυρετοῦ ἐπιμένοντος ὁ ἀσθενὴς διεκομίσθη κλινήρης διὰ πλοίου διαπλεύσαντος τὸν Εὐφράτην «ἐς τὸν παράδεισον πέραν τοῦ ποταμοῦ», μετά τινας δὲ ἡμέρας διεκομίσθη καὶ πάλιν «ἐκ τοῦ παραδείσου εἰς τὰ βασίλεια». (Ἀρριανοῦ Ἀνάβασις Ἀλεξάνδρου. 7, 25, 26). Ἡ ἐν προκειμένῳ μνεία παραδείσου καὶ λουτρῶν εἶναι χαρακτηριστικὴ καὶ δὲν εἶναι δυνατὸν νὰ ὀφείλεται εἰς ἁπλῆν καὶ τυχαίαν σύμπτωσιν, δεδομένου ὅτι καὶ ἄλλαι μιμήσεις ἐκ τοῦ βίου τοῦ Μ. Ἀλεξάνδρου διεπιστώθησαν ἤδη ἐν τοῖς προηγουμένοις. Βλέπε σχετικῶς ἐν Γενικῇ Εἰσαγωγῇ α' τόμου τοῦ παρόντος ἔργου, σελ. κ', ὡς καὶ ὑποσημ. 28 αὐτόθι. Βλέπε ὡσαύτως καὶ ἐν Ε 1670 ἑξ. τὰ περὶ τοῦ τάφου τοῦ Ἀκρίτου, ἅτινα προέρχονται ἐξ ἀπομιμήσεως σχετικοῦ χωρίου Ἀρριανοῦ, ἔνθα περιγράφεται ὁ τάφος τοῦ Κύρου ἐν Πασαργάδαις.

ἵνα μὴ θλίψῃ τὴν ψυχὴν τῆς πανεντίμου κόρης. 68β
Ὡς δὲ μᾶλλον δεινότερος καὶ σφοδρότερος ἔτι
ὁ πόνος ἔθλιβεν αὐτόν, καὶ γνοῦσα τοῦτο ἡ κόρη,
ἀπὸ βάθους στενάξασα· «Ὦ κύριέ μου, ἔφη,
»οὐκ ἐρεῖς μοι τί τὸ συμβὰν καὶ πιέζον σε ἄλγος;
»οὐ λέγεις, ὦ παμφίλτατε, τίς ἡ ἀδημονία;
»Πλείονα γάρ μοι προξενεῖς σιωπῶν τὴν ὀδύνην,
»καὶ τὴν ψυχήν ἀναιρεῖς μοι, τὴν νόσον ἀποκρύπτων».
Ὁ δὲ μᾶλλον τῷ στεναγμῷ ταύτην ἀλγήσας πλέον,
οὐ γὰρ ἐβούλετο ποτὲ κατιδεῖν τεθλιμμένην·
«Οὐδὲν ἄλλο, ἐμὴ ψυχὴ πιέζει καὶ συντρίβει,
»εἰ μὴ πόνος ἀφόρητος τὰ ὀστᾶ μου ἀπέσω·
»ὀσφὺν γὰρ πᾶσαν καὶ νεφρούς, ράχιν, ὀστᾶ καὶ πάντας
»τοὺς ἁρμούς μου διέλυσε, καὶ οὐ φέρω τοὺς πόνους.
»Τῶν ἰατρῶν καλείτω τις τῶν τοῦ στρατοῦ ἐν τάχει».
[§ 576 ✱] Οὗ καὶ ἐλθόντος τῇ ἑξῆς καὶ σφυγμοῦ ἁψαμένου,
ἐκ τῆς πυρᾶς τὴν δύναμιν ἐπέγνω παρελθοῦσαν,
ἡ γὰρ νόσος κατὰ πολὺ νενίκηκε τὴν φύσιν.
[§ 577] Στενάξας οὖν ὁ ἰατρὸς καθ' ἑαυτὸν καὶ κλαύσας,
ἐπέγνω ὁ θαυμάσιος φθάσαι τὸ τέλος ἤδη.
[§ 579-580] Καὶ μηδὲν εἰρηκὼς αὐτῷ τοῦ ἐξελθεῖν προσ-
τὴν δὲ κόρην εἰς τὸ ἐντὸς ὑπάρχουσαν ταμεῖον ⟨τάττει,
εὐθὺς ἐκάλει πρὸς αὐτόν, ἡ δὲ παρῆν δραμοῦσα·

45 πάνφιλτατε—47 νόσον—54 καλείτω τίς—

41 ἑξ. Τὰ ἐν προκειμένῳ ἀναφερόμενα περὶ τοῦ ἄλγους τοῦ Ἀκρίτου, παρουσιάζουσι ἀναλογίαν πρὸς τοὺς θρύλους οἵτινες ἐκυκλοφόρουν ἐν σχέσει πρὸς τὰ κατὰ τὴν νόσον τοῦ Μ. Ἀλεξάνδρου καὶ περὶ ὧν ἔχομεν τὴν μαρτυρίαν τοῦ Πλουτάρχου, οὗτινος τὸ παρατιθέμενον σχετικὸν ἀπόσπασμα βλέπε ἐν ὑποσημ. Κη 31 ἑξ.

54. Ἡ μνεία ἰατρῶν τοῦ στρατοῦ σχετίζεται κατὰ Wartenberg πρὸς τὴν ἐποχὴν τοῦ Ἀλεξ. Κομνηνοῦ, καθ' ἣν ἐγένοντο μεγάλαι προσπάθειαι πρὸς τὴν κατεύθυνσιν ταύτην. Βλέπε σχετικῶς Wartenberg, Das mittelgriechische Heldenlied von Basileios Digenis Akritas, Βερολῖνον 1897. Βλέπε ὡσαύτως καὶ Iorga Histoire de la vie byzantine, τόμ. β', σελ. 273, ὑποσημ. 4.

55. Πρβλ. διαφορὰς ἐν Α 4387 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. Τὰ αὐτόθι ἀναφερόμενα περὶ τῆς τρίτης ὡς ἡμέρας τοῦ θανάτου τοῦ Διγενοῦς προέρχονται προφανῶς ἐξ ἀπομιμήσεως ἐκ τοῦ Μ. Ἀλεξάνδρου. Σχετικὴ εἴδησις ἀπαντᾷ παρὰ Πλουτάρχῳ ἐν βίῳ Ἀλεξάνδρου LXXVI ἐν τέλει, ἔνθα ἀναφέρεται ὅτι ὁ Ἀλέξανδρος «τῇ τρίτῃ φθίνοντος πρὸς δείλην ἀπέθανε». Βλέπε σχετικῶς καὶ ὑποσημ. Κη 31. Συνεπῶς ἐνισχύονται αἱ ἐν ὑποσημ. Α 4387 ἀπόψεις μου ἐν σχέσει πρὸς τὰς κρίσεις τοῦ Πολίτου, καὶ εἶναι προφανὲς ὅτι δὲν πρόκειται περὶ Τρίτης ἡμέρας τῆς ἑβδομάδος.

καὶ πνεῦμα συλλεξάμενος καὶ στενάξας ἐκ βάθους·
«Ὦ τῆς πικρᾶς, ἐφθέγξατο, φιλτάτης χωρισίας
»ὦ τῆς χαρᾶς καὶ τῶν τερπνῶν πάντων τοῦ κόσμου ⟨τούτου·
»ἀλλὰ κάθισον ἄντικρυς, χορτάσω σε τοῦ βλέπειν, 69α
»ἄλλο γὰρ οὐ θεάσεις με τὸν σὲ πολλὰ ποθοῦντα,
»καὶ ἐρῶ σοι τὰ ἀπ' ἀρχῆς ἡμῖν συμβεβηκότα.
[§ 581] »Μνήσκεσαι, ὦ ψυχὴ ἐμὴ καὶ φῶς τῶν ⟨ὀφθαλμῶν μου,
»ὅπως μόνος τὴν ἁρπαγὴν ἐτόλμησα ποιῆσαι,
»τοὺς σοὺς γονεῖς μὴ πτοηθείς, μὴ δεδοικὼς τὰ πλήθη;
»τὸ τοῦ στρατοῦ ἀνείκαστον ἐπεχείρουν χωρῖσαι
»ἡμᾶς, ὦ περιπόθητε, ἐν τῷ ἀδήλῳ κάμπῳ,
»οὓς μὴ πεισθέντας τοῦ στραφεῖν παρέδωκα θανάτῳ·
»καὶ ἀδελφοὺς ὅπως τοὺς σούς, σὸν πρόσταγμα φυλάξας,
»ἐκ τῶν ἵππων κατέβαλον μηδόλως τραυματίσας;
»Μέμνησαι ὅπως μόνην σε λαβεῖν ἠρετισάμην,
»τῷ σῷ πατρὶ καταλιπὼν ἄχρι ζωῆς τὴν προῖκα;
»Πάντως διὰ τὴν ἄπειρον ἀγάπην σου, φιλτάτη,
»ταῦτα πάντα πεποίηκα ἵνα σε ἐκκερδήσω.
[§ 582] »Μνημονεύεις, ψυχὴ ἐμή, εἰς τὸ Βλαττολιβάδιν
»ὅταν ὁ δράκων μόνην σε ἐν τῇ πηγῇ ὡς εὗρε,
»καὶ ἀναιδῶς πλανῆσαι σε ὁ δεινὸς ἐπεχείρει;
»Σὺ δὲ φωνὴν ἐξέπεμψας καλοῦσα βοηθόν με,
»ἧς ἐπακούσας τάχιον ἐν τῇ πηγῇ εὑρέθην,
»καὶ τὰ αὐτοῦ φαντάσματα ἀντ' οὐδενὸς νομίσας,
»τὰς κεφαλὰς ἀπέτεμον αὐτοῦ τὰς πυρφλεγούσας;
»Ταῦτα δὲ κατετόλμησα διὰ τὴν σὴν ἀγάπην,
»αἱρούμην γὰρ ἀποθανεῖν ἢ σὺ στενάξαι ὅλως.
[§ 583] »Μέμνησαι καὶ τοῦ λέοντος εἰς τὸ αὐτὸ λιβάδιν,
»ὅπως, ἐμοῦ καθεύδοντος, φῶς μου μεμυρισμένον,
»ὥρμησε τοῦ σπαράξαι σε, σὺ δὲ φωνὴν ἀφῆκας,
»ἧς ἐπακούσας πρὸς αὐτὸν κατεπήδησα θᾶττον, 69β
»καὶ θανατώσας ἀβλαβῆ ἐκ τῶν ὀνύχων τούτου,

81 Μνημονεύεις, ψυχή, εἰς τὸ Βλαττολιβάδιν—

69 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 4425 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι.

81 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 4438 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι. Βλέπε ὡσαύτως καὶ ἐν Κστ 45 ἑξ.

90 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 4445 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι. Βλέπε ὡσαύτως καὶ ἐν Κστ 91 ἑξ.

»σὲ ἐρρυσάμην, πάντερπνε, ἐμπεπλησμένην φόβου,
»Κιθάρας δὲ τῷ κρούσματι θέλων μεταβαλεῖν σε,
»οἱ ἀπελάται τῷ αὐτῆς ἤχῳ ὁδηγηθέντες,
»πρὸς ἡμᾶς ἦλθον ἀναιδῶς οἱ τοῦ Ἰωαννακίου,
»οἳ καὶ τόλμῃ ἐχρήσαντο ἡμᾶς ἀποχωρῖσαι.
»Πάντως οἶδας, ψυχὴ ἐμή, τὰ εἰς αὐτοὺς πραχθέντα,
»ἄνευ γὰρ ὕπνου ἅπαντας θανάτῳ παρεδόμην·
»ταῦτα δὲ ἕνεκα τῆς σῆς ἀγάπης ἐποιούμην,
»ἧς οὐ τὸν κόσμον, οὐ τὸ ζῆν εἶχον προτιμητέον.
[§ 581] Μνήσκεσαι καὶ τῶν θαυμαστῶν ἀπελατῶν, ψυχή μου
»Φιλοπαπποῦ τοῦ γέροντος, Κιννάμου καὶ Ἰωαννάκη,
»τῶν ἐν ἀνδρείᾳ λαλητῶν, πάντη περιβοήτων,
»ἄοπλον ἐν τῷ ποταμῷ ὅπως ἐνέτυχόν με,
»φαρίοις ἐποχούμενοι, οἱ τρεῖς καθωπλισμένοι;
»Οἶδας ὅσα ἐσπούδασαν ἐμὲ τοῦ ἀποκτεῖναι,
»ἡνίκα σε ἐσκέψαντο πρός με ἐπερχομένην;
»Σὺ δὲ φωνήν μοι ἔπεμψας βοηθοῦσα τῷ λόγῳ·
«Ἀνδρίζου, ὦ παμφίλτατε, ἵνα μὴ χωρισθῶμεν»,
»παρ' ἧς πλέον δυναμωθεὶς τούτους ἐτροπωσάμην,
»καὶ κατὰ κράτος ἥττησα τῇ ῥάβδῳ τραυματίσας,
»οἷς καὶ τὸ ζῆν ἐχάρισα δυσωπηθεὶς τοῖς λόγοις;
»Καὶ ταῦτα δι' ὑπερβολὴν ἐποιούμην ἀγάπης
»τῆς σῆς, πανυπερπόθητε, ὅπως νὰ σὲ κερδήσω.
[§ 585 ✱] »Τὴν Μαξιμοῦν ἐπέζευσα, τοὺς μετ' αὐτῆς ἀνεῖλον,
»εἶτα πεισθεὶς τοῖς λόγοις σου, πάλιν ὀπίσω τρέχων
»ἔσφαξα καὶ αὐτὴν λάθρα σοῦ μὴ εἰδυίας. 70α
[§ 586] »Καὶ ἄλλα πολλῷ πλείονα διὰ τὴν σὴν ἀγάπην,
»ἐμὴ ψυχή, πεποίηκα ἵνα σὲ ἐκκερδήσω.
[§ 587] »Καὶ τοῦ σκοποῦ ἀπέτυχον, ἥμαρτον τῆς ἐλπίδος·
»καὶ γὰρ πληροφορήθητι βέβαιον ἀποθνήσκω,
»ὁ Χάρων δέ με ἐκ παντὸς τὸν ἀήττητον τρέπει,
»ᾅδης χωρίζει τῆς πολλῆς ἀγάπης σου, φιλτάτη,
»καὶ ὁ τάφος καλύπτει με πολὺν ἔχοντα πόνον,
»καὶ ὀδύνην ἀφόρητον διὰ τὴν σὴν χηρείαν.
[§ 595-596 ✱] »Ἀλλ' ὦ πανυπερπόθητε, ποίαν σοῦ ⟨κλαύσω λύπην;

97 τῷ σκυτῆς ἤχῳ—124 τέλειον + βέβαιον ἀποθνήσκω,—

104 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 4458, βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι. Βλέπε ὡσαύτως καὶ ἐν Κστ 120 ἑξ.
118 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 4461 ἑξ., βλέπε δὲ καὶ ταυτάριθμ. ὑποσημ. αὐτόθι. Βλέπε ὡσαύτως ἐν Κστ 385 ἑξ. Κστ 587 ἑξ., Κστ 755 καὶ Κστ 834 ἑξ.
129 ἑξ. Πρβλ. χωρίον Α 4538 ἑξ., βλέπε δὲ καὶ ὑποσημ. Α 4544 ἑξ.

»πῶς σε παραμυθήσομαι; ποῦ σε ἀφῶ τὴν ξένην;
»ποία μήτηρ συγκλαύσει σοι; τίς πατὴρ ἐλεήσει;
»ἢ νουθετήσει ἀδελφός, τινὰ μὴ εὐποροῦσα;
»ἀλλὰ φύλαξον τοὺς ἐμούς, ὦ παμφιλτάτη, λόγους
»καὶ τελευταίαν βούλησιν ἐμοῦ μὴ ἀθετήσῃς,
»ἵνα βιώσῃ τοῦ λοιποῦ τινὰ μὴ φοβουμένη.
»Οἶδ' ὡς οὐχ ἕξεις δυνατὸν χηρείαν ὑπομεῖναι,
»ἀλλ' ἄνδρα, μετὰ θάνατον ἐμόν, ἕτερον λάβῃς,
»ἡ γὰρ νεότης ἐκ παντὸς βιάσει σε εἰς τοῦτο.
»Καὶ βλέπεσαι μὴ πλανηθῇς εἰς πλοῦτον ἢ εἰς δόξαν,
»ἀλλ' εἰς ἀνδρεῖον ἄγουρον τολμηρὸν καὶ γενναῖον,
»καὶ βασιλεύσεις ἐπὶ γῆς ὡς πρότερον ψυχή μου».
[§ 597] Ταῦτα σὺν δάκρυσιν εἰπὼν ἀπέπαυσε τὸν λόγον·
ἡ δὲ κόρη στενάξασα πικρῶς ἀπὸ καρδίας,
καὶ δάκρυσι τὰς παρειὰς βρέξασα θερμοτέρως·
«Ὦ κύριέ μου ἔφησεν, εἰς τὸν Θεὸν ἐλπίζω,
»καὶ εἰς τὴν ἄχραντον ἁγνὴν δέσποιναν Θεοτόκον,
»οὐδεὶς ἄλλος γνωρίσει με, εἰ μὴ σύ, μέχρι τέλους, 70β
»καὶ τῆς δεινῆς λυτρώσει σε ἐν τάχει ἀρρωστίας».
[§ 598] Οὕτως εἰποῦσα ἔρχεται εἰς τὸ ἐντὸς ταμεῖον,
χεῖρας τε πρὸς ἀνατολὰς ἐκτείνασα καὶ ὄμμα,
δάκρυσί τε τὸ ἔδαφος καταβρέξασα ἅπαν,
πρὸς τὸν Θεὸν τὸν ὕψιστον ἐπηύξατο τοιάδε·
«Δέσποτα, δέσποτα Θεέ, ὁ κτίσας τοὺς αἰῶνας,
»ὁ στερεώσας οὐρανὸν καὶ γῆν θεμελιώσας,
»καὶ πάντα τὰ ὁρώμενα τῷ λόγῳ σου κοσμήσας,
»ὁ ἐκ τῆς γῆς τὸν ἄνθρωπον σῇ χειρὶ πλαστουργήσας,
»ὁ ἐκ μὴ ὄντων ἅπαντα παραγαγὼν εἰς εἶναι.
[§ 599] »Εἰσάκουσον δεήσεως ἐμοῦ τῆς ἀναξίας,
»ἴδε μου τὴν ταπείνωσιν, ἴδε μου καὶ τὴν θλῖψιν·
»καὶ ὡς ποτε παράλυτον ἐξήγειρας, οἰκτίρμον,
»καὶ τὸ θυγάτριόν ποτε τὸ τοῦ ἑκατοντάρχου,
»καὶ νεκρὸν τετραήμερον, Λάζαρον ἐκ τοῦ τάφου,
»οὕτω καὶ νῦν ἀνάστησον νέον ἀπελπισμένον·
»οἰκτείρησον ὡς ἀγαθὸς τὴν ἐμὴν εὐσπλαγχνίαν.
[§ 600-602] »Σπλαγχνίσθητι νεότητος Χριστέ, τοῦ σοῦ ⟨οἰκέτου,
»εἰ καὶ πολλὰ ἡμάρτομεν ἐνώπιόν σου, Λόγε,
»καὶ παντελῶς ἀνάξιοι ἐσμὲν τοῦ σοῦ ἐλέους,

136 Εἰδὼς + Οἶδ' ὡς οὐχ' ἕξεις—

138 ἑξ. Πρβλ. ἀντίστοιχ. χωρίον ἐν Α 4545 ἑξ., βλέπε δὲ καὶ ὑποσημ. Α 4544.

»ἀλλ' ὡς οἰκτίρμων δέησιν ἐκ τῆς ψυχῆς κατωδύνου
»πρόσδεξαι καὶ ἀνάστησον νέον ἀπελπισμένον·
»δάκρυα μὴ παρίδῃς μου, ἡ χαρὰ τῶν ἀγγέλων·
»ἐλέησον, φιλάνθρωπε, τὴν ἐμὴν ξενιτείαν·
»τὴν μοναξίαν οἴκτειρον, καὶ ἀνάστησον τοῦτον·
»εἰ δ' οὔ, κέλευσον, ὁ Θεὸς ὁ δυνάμενος πάντα,
»πρὸ τούτου τελευτῆσαι με καὶ τὴν ψυχὴν ἀφεῖναι,
»μὴ ἴδω τοῦτον ἄφωνον νεκρὸν ἐξηπλωμένον, 71α
»μὴ ἴδω χεῖρας τὰς καλὰς ἀνδραγαθεῖν μαθούσας
»δεδεμένας σταυροειδῶς, μενούσας ἀκινήτους,
»κεκαλυμμένους ὀφθαλμούς, πόδας συνεσταλμένους·
»μή με τοσαύτην κατιδεῖν παραχωρήσῃς θλῖψιν
»ὦ ποιητά μου καὶ Θεέ, ὡς δυνάμενος πάντα».
[§ 603] Ταῦτα ἡ κόρη σὺν πολλῇ συντριβῇ τῆς καρδίας
δεηθεῖσα, ὑπέστρεψε τοῦ ἰδεῖν τὸν 'Ακρίτην,
καὶ ὁρᾷ τοῦτον ἄφωνον οἴμοι ψυχορραγοῦντα·
καὶ τὸν πόνον μὴ φέρουσα ὀδύνης τῆς ἀπείρου,
ἀπὸ ἀμέτρου καὶ πολλῆς πεσοῦσα ἀθυμίας
ἐπὶ τοῦ νέου συμπαθῶς ἐξέπνευσεν ἡ κόρη.
Οὐδέπω γὰρ ἡ θαυμαστὴ θλίψεως πεῖραν ἔσχε,
διὰ τοῦτο ὑπενεγκεῖν ταύτην οὐκ ἠδυνήθη.
[✱] Εἶτα ἰδὼν ὁ θαυμαστός, τῇ χειρὶ ψηλαφήσας,
καὶ γὰρ ἀκμὴν αὐτὸς ζῶν ἦν Θεοῦ τῇ εὐσπλαγχνίᾳ,
καὶ ταύτην θεασάμενος θανοῦσαν παραδόξως·
«Δόξα σοι, ἔφη, ὁ Θεὸς οἰκονομῶν τὰ πάντα,
»τοῦ μὴ φέρειν ἀφόρητον πόνον ἐν τῇ ψυχῇ μου,
»διὰ τὸ μόνην εἶναι τε καὶ ξένην ἐν τοῖς ὧδε».

190 ἀκμὴν ζῶν ἦν Θεοῦ τῇ εὐσπλαχνίᾳ,—

184 ἑξ. Κατὰ τὸ κείμενον τῆς παρούσης διασκευῆς ἡ κόρη φέρεται προαποθανοῦσα τοῦ Διγενοῦς, ὅστις δοξάζει τὸν Θεὸν ἐπὶ τούτῳ καὶ ἀποθνήσκει ἥσυχος, χωρὶς τὴν ἀνησυχίαν καὶ τὴν ζηλοτυπίαν ὅτι ἡ σύζυγός του θὰ παρέμενε χήρα καὶ ἑτοίμη νὰ συζευχθῇ ἄλλον. Κατὰ τὰ 'Ακριτικὰ ᾄσματα ὁ Διγενὴς ζηλοτυπῶν πνίγει τὴν σύζυγόν του πρὸ τοῦ θανάτου του. Βλέπε σχετικῶς μελέτην Πολίτου, 'Ο θάνατος τοῦ Διγενῆ ἐν ἐν Λαογραφίᾳ Α' σελ. 175, Α' 178-179 καὶ σχετικὰ ᾄσματα αὐτόθι : 1 (Κύπρου) σελ. 210, στίχ. 100-107, ᾆσμα 22 σελ. 232, στίχ. 4-8, ᾆσμα 23 (Κερασοῦντος) σελ. 234, στίχ. 41-44, ᾆσμα 26 (Καρυῶν Καβακλῆ), σελ. 237, στίχ. 18-21, ᾆσμα 28 (Μακεδονίας), σελ. 239, στίχ. 15-17, ᾆσμα 29 (Λακοβικίων), σελ. 239, στίχ. 17-19, ᾆσμα 32 (Κρήτης), σελ. 242, στίχ. 12-19, ὡς καὶ ᾆσμα Κύπρου ἐν Λαογραφίας ΣΤ', σελ. 591, στίχ. 86 ἑξ. Βλέπε ὡσαύτως καὶ ὑποσημ. Α 4544 ἑξ., ὡς καὶ μελέτην Grégoire: Autour de Digénis Acritas ἐν Byzantion VII, σελ. 298.

Καὶ τὰς χεῖρας σταυροειδῶς τελέσας ὁ γεννάδας
τὴν ψυχὴν μὲν παρέδωκεν ἀγγέλοις τοῦ Κυρίου.
[§ 603] Καὶ ἄμφω ἐτελεύτησαν οἱ περίβλεπτοι νέοι
ἐν μιᾷ ὥρᾳ τὰς ψυχάς, ἐκ συνθήματος ὥσπερ.
Τούτων τὸν θάνατον ὁ παῖς οἰνοχόος ὡς εἶδε
τῷ δομεστίκῳ παρευθὺς δηλοῖ τῷ τραπεζίτῃ
μετὰ κλαυθμοῦ καὶ ὀδυρμοῦ· οἱ δὲ πάλιν τοῖς ἔξω.
[§ 606] Τῆς φήμης δὲ καὶ πόρρωθεν ἤδη διαδραμούσης, 71β
ἄρχοντες τῆς ἀνατολῆς παρεγένοντο πλεῖστοι,
Χαρζιανοί, Καππάδοκες, Κουκουλιθαριῶται,
Κονδανδῖται οἱ δόκιμοι, Ταρσῖται, Μαυρονῖται,
Βαγδαΐται οἱ ἐκλεκτοὶ σὺν Βαθυρρυακίταις,
Βαβυλώνιοι εὐγενεῖς καὶ πολλοὶ ἐκ τοῦ Ἔμελ,
ἔσπευσαν ὅπως εἰς ταφὴν φθάσωσι τοῦ 'Ακρίτου·
καὶ τὸ πλῆθος ἀνείκαστον ἦτον συνηθροισμένον,
ὡς καὶ πάντα τὰ ἔξωθεν τοῦ οἴκου πεπληρῶσθαι.
[§ 604 ✱] Τίς δὲ τοὺς θρήνους ἐξειπεῖν τοὺς τότε ἐξισχύσει;
τὰ δάκρυα, τοὺς ὀδυρμούς, τῶν συμφορῶν τὸ πλῆθος;
ἅπαντες γὰρ παράφρονες τῇ λύπῃ γεγονότες,
τὰς μὲν τρίχας ἀνέσπαον, ἔτιλλον γενειάδας,
ἐφώνουν· «Σείσθητι, ἡ γῆ, θρήνησον, πᾶς ὁ κόσμος·
»ὦ ἥλιε, ζοφώθητι, κρύψον σου τὰς ἀκτῖνας·
»σελήνη, μελανώθητι, μηκέτι δᾳδουχήσῃς·
»αἱ τῶν ἀστέρων ἅπασαι σβέσθητε φρυκτωρίαι,

199 οἰνοχοὸς—202 Τῆς φήμη δὲ—205 Ταρσῖται, Μαυρονῖται,—

196. Οἱ Βυζαντινοὶ ἐπίστευον ὅτι ὁ μελλοθάνατος ἔβλεπε τὸν ἄγγελον φύλακά του, ὅστις καὶ θὰ παρελάμβανε τὴν ψυχήν του, ἢ πλείονας ἀγγέλους. Βλέπε σχετικῶς μελέτην Κουκουλέ: Βυζαντινῶν νεκρικὰ ἔθιμα, ἐν 'Επετηρ. Βυζ. Σπουδ. ΙΣΤ', σελ. 6-7. Βλέπε ὡσαύτως καὶ ἐν Ε 1766.
204 ἑξ. 'Η ἐν προκειμένῳ ἀπαρίθμησις ἀρχόντων παραστάντων κατὰ τὴν κηδείαν τοῦ Διγενοῦς καὶ προερχομένων ἐκ διαφόρων περιοχῶν τῆς Μικρᾶς 'Ασίας παρουσιάζει ἐνδιαφέρον ἀπὸ γεωγραφικῆς ἀπόψεως. Χαρζιανοὶ εἶναι οἱ ἐκ τοῦ θέματος Χαρσιανοῦ ἢ Χαρσιανῖται. Κουκουλιθαριῶται, εἶναι κατὰ Καρολίδην οἱ ἐκ τῆς περιοχῆς τῆς καλουμένης κατὰ τοὺς βυζ. χρονογρ. Βουκοῦ λίθος, κατὰ δὲ τὸν Grégoire οἱ Βουκελλαριῶται ἤτοι οἱ ἐκ τοῦ θέματος τῶν Βουκελλαρίων. Κονδανδῖται εἶναι πιθανῶς κατὰ Καρολίδην οἱ πρόγονοι τῆς καὶ σήμερον ὑπαρχούσης νομαδικῆς φυλῆς Κοζάνογλου κατὰ δὲ τὸν Grégoire οἱ Ποδανδῖται ἐκ τῆς παρὰ τὸν Τύανα κώμης Ποδανδὸς (βλέπε σχετικῶς καὶ ὑποσημ. Α 1361 ἐν τέλει). Θαρσῖται εἶναι οἱ κάτοικοι τῆς Ταρσοῦ ἢ Ταρσῖται. Βαγδαΐται οἱ κάτοικοι τοῦ Βαγδᾶ ἢ Βαγδατίου. Περὶ Μαυρονιτῶν ἢ Μαυροχιονιτῶν βλέπε ἐν Κδ 969. Βαθυρρυακῖται ἦσαν οἱ ἐκ Βαθυρρύακος, ἤτοι περιοχῆς μεταξὺ Σεβαστείας καὶ Τεφρικῆς. Περὶ Ἔμελ, βλέπε ὑποσημ. Κη 7. Βλέπε σχετικῶς Καρολ. σελ. 243, ὡς καὶ μελέτας Grégoire ἐν Byzantion VI, σελ. 485 καὶ VII, σελ. 287.

»τὸ γὰρ ἄστρον τὸ φαεινὸν τὸ λάμψαν ἐν τῷ κόσμῳ,
»Ὁ Διγενὴς Βασίλειος, πάντων νέων ὁ κόσμος,
»καὶ ἡ τούτου ὁμόζυγος, τῶν γυναικῶν ἡ δόξα,
»ἐν μιᾷ ὥρᾳ ἔδυναν ἄφνω ἀπὸ τοῦ κόσμου.
»Δεῦτε πάντες οἱ ἐρασταὶ καὶ φίλοι τῆς ἀνδρείας,
»τὸν γενναῖον καὶ τολμηρὸν πενθήσατε Ἀκρίτην·
»θρηνήσατε τὸν ἰσχυρὸν καὶ φοβερὸν τοῖς πᾶσι,
»τὸν πάντα ὑπενάντιον ἀφανίσαντα ἄνδρα,
»καὶ γαλήνην βραβεύσαντα καὶ βαθεῖαν εἰρήνην.
»Γυναῖκες, δεῦτε κλαύσατε καλλονὴν ὑμετέραν,
»αἱ ἐν κάλλει καυχώμεναι, νεότητι θαρροῦσαι, 72α
»τὴν ὡραίαν θρηνήσατε καὶ πανσώφρονα κόρην.
»Οἴμοι, τί τὸ ὁρώμενον, ἄφνω δύο φωστῆρες,
»οἱ πάντα κόσμον λάμψαντες ἔδυναν πρὸ τῆς ὥρας».
Ταῦτα καὶ τούτοις ὅμοια ἔλεγον θρηνῳδοῦντες
οἱ παρόντες πρὸς τὴν ταφὴν τῶν εὐγενῶν σωμάτων.
[§ 605 ✱] Τῶν ὕμνων δὲ πρὸς τὴν ταφὴν καλῶς ⟨ἐκτελεσθέντων,
καὶ ἅπαντα τοῖς πένησι δοθέντα τὰ ἐν οἴκῳ,
τὰ λείψανα ἐν μνήματι κηδεύσαντες πρεπόντως,
τούτων τὸν τάφον ἔστησαν ἐπάνω εἰς κλεισοῦραν
παρέκει Τρώσεως τινὸς τόπου τοῦ καλουμένου.
[✱] Ἐπ' ἀψῖδος ἱστάμενος ὁ τάφος τοῦ Ἀκρίτου,
συντεθειμένος θαυμαστῶς ἐκ μαρμάρου πορφύρας,
ἵν' οἱ βλέποντες ἔξωθεν τοὺς νέους μακαρίζουν,
τῆς ἀκρωρείας πόρρωθεν δυνάμενος ὀφθῆναι·
τὰ γὰρ εἰς ὕψος ὄντα τε μήκοθεν θεωροῦνται.
[§ 606] Εἶτ' ἀναβάντες ἅπαντες οἱ τότε συνελθόντες,
οἱ μεγιστᾶνες, ἄρχοντες καὶ πάντες οἱ τῷ τότε
τὸν τάφον στεφανώσαντες καὶ κυκλώσαντες τοῦτον,
τοιαῦτα λέγειν ἄρχονται δακρύοντες ἀσχέτως·
[§ 607] «Ἴδετε ποῦ κατάκειται ἡ τόλμη τῆς ἀνδρείας,
»ἴδετε ποῦ κατάκειται ὁ Διγενὴς Ἀκρίτης·
»τῶν γονέων ὁ στέφανος, νέων πάντων ἡ δόξα,

239. Μόνον τὸ κείμενον τῆς παρούσης διασκευῆς ποιεῖται ῥητῶς μνείαν τοῦ τάφου τοῦ Ἀκρίτου ἐν Τρώσει, ἐνῷ αἱ λοιπαὶ διασκευαὶ παρασιωποῦν τὴν λεπτομέρειαν ταύτην. Βλέπε σχετικῶς ἐν Α 4629 ἑξ. καὶ ταυτάριθμ. ὑποσημ., ὡς καὶ ἐν Ε 1660 ἑξ. Περὶ τῆς θέσεως τῆς Τρώσεως βλέπε ὑποσημ. Α 3378. Ὁ Grégoire προσδιορίζει τὴν θέσιν τοῦ τάφου τοῦ Ἀκρίτου ἐν Kizil Dagh, πλησίον τῆς Τρώσεως (Trus) καὶ παρὰ τὰ Σαμόσατα. Βλέπε σχετικῶς μελέτας Grégoire: Autour de Digénis ἐν Byzantion VII, σελ. 288 καὶ Le tombeau et la date de Digènis ἐν Byzantion VI 481-508.

»ἴδετε ποῦ κατάκειται τὸ ἄνθος τῶν Ῥωμαίων,
»βασιλέων τὸ καύχημα, εὐγενῶν ἡ λαμπρότης,
»ὁ τοῖς λέουσι φοβερὸς καὶ πᾶσι τοῖς θηρίοις.
[§ 608] »Οἴμοι, οἴμοι τί γέγονεν ἡ τοσαύτη ἀνδρεία;
»Θεέ, καὶ ποῦ ἡ δύναμις καὶ ποῦ ἡ εὐτολμία, 72β
»ποῦ φόβος ὁ ἀνείκαστος τοῦ ὀνόματος μόνου;
[§ 610] »Εἰ γὰρ Ἀκρίτου ὄνομα τοῦ Διγενοῦς ἠκούσθη,
»φρίκη πάντας ἐλάμβανεν καὶ δειλία μεγίστη,
»τοσαύτην χάριν ἐκ Θεοῦ εἴληφεν ὁ γεννάδας
»ὡς μόνῳ τῷ ὀνόματι τρέπειν τοὺς ἐναντίους·
»εἰ γάρ ποτε ὁ θαυμαστὸς ἐξῆλθε τοῦ θηρεῦσαι,
»θηρία πάντα ἔτρεχον εἰς τὴν ἕλην ἀπέσω.
»Ἀρτίως δὲ ὑπὸ μικροῦ κατακρατεῖται τάφου,
»ἄπρακτος, ἀνενέργητος ὁρώμενος τοῖς πᾶσιν.
»Ἄρα τίς κατετόλμησε τὸν ἰσχυρὸν δεσμεῦσαι;
»Ἄρα τίς τὸν ἀήττητον ἴσχυσεν ὑποτάξαι ;
